Ὁ δ' Ἁλικαρνασσεὺς καί περ σφαλερῶς ἐκ Θεσσαλίας τοὺς ταύτῃ οἰκοῦντας Πελασγοὺς κατάγων, ὀρθῶς γε μήν φησιν αὐτοὺς περὶ Ἑλλήσποντον πόλλ' ἄττα καταλαβεῖν χωρία, τῶν δὲ παρακειμένων νήσων ἄλλας τε συχνὰς καὶ τὴν νῦν καλουμένην Λέσβον, ἀναμιγέντας τοῖς ἐξ Ἑλλάδος, στέλλουσι τὴν πρώτην ἀποικίαν εἰς αὐτὴν, ἄγοντος Μάκαρος τοῦ Κριασίου (2). Τεκμήριον δέ. Τὸ γὰρ Σηστὸν, παναρχαίαν ἐν Χερσονήσῳ πόλιν, ἣς καὐτὸς μέμνηται Ὅμηρος, ταῖς κατ' Ἀσίαν συγκατειλέχθαι πόλεσι, Περκώτῃ δῆλα δὴ καὶ Ἀβύδῳ καὶ Ἀρίσβῃ καὶ τοῖς περὶ Πράκτιον (3), τὸ ὁμογενὲς δηλοῖ πάντως καὶ ὁμόφυλον τῶν ταύτας ἐνοικούντων. Ἀρίσβης δὲ ὁμωνύμου ταύτῃ πόλεως κἀν Λέσβῳ οὔσης καὶ ὑπ' Αἰολέων ἐχομένης (4), δῆλον ὅτι καὶ Σήσιοι καὶ Χερσονησιτῶν που οἱ ἄλλοι ὁμογενεῖς ἦσαν Αἰολεῦσι τοῖς ἐν Λέσβῳ. Ἰδίᾳ δὲ Σηστοῦ οἰκισταὶ λέγονται γενέσθαι Λέσβιοι, ἄδηλον μέντοι εἰ πρῶτοι Λέσβιοι ἦσαν οἱ οἰκίσαντες ἢ ἀποικίαν μεθύστερον ἐκπεπόμφασιν. Εἶχον γὰρ αὐτὴν, καθ' Ἡρόδοτον, Αἰολέες ἐπιχώριοι, τὸ καθ' ἑαυτόν (5). Συνάγοι τ' ἂν οὖν, οἶμαι, οὐκ ἀλόγως, ὡς πρὸ μὲν τῶν τρωϊκῶν ὑπὸ Λεσβίων (Πελασγῶν) ἡ Σηστὸς ᾠκίσθη, νέους δ' αὖ πάλιν ἐκεῖθεν ἐποίκους ἐδέξατο, καθάπερ καὶ ἀλλαχῆ παραπλησίως συνέβη (1).

§. 12. Τούτοις καὶ *Τυῤῥηνοὺς Πελασγοὺς* ἔτεσιν ὀγδοήκοντα μετὰ τὴν Τροίας ἅλωσιν εἰσβαλόντας ἀναμεμίχθαι ἔοικεν. Ἐκβληθέντες γὰρ Ἀθήνηθεν καὶ κατὰ θάλασσαν φερόμενοί τε καὶ ῥιπταζόμενοι, νήσους ἄλλας τε κατέσχον, καὶ Σκύρον, Λῆμνον, Ἶμβρον, Σαμοθρᾴκην καὶ Λέσβον, μυστήρια ἐκεῖνα τὰ περίπυστα εἰσαγαγόντες θεῶν τῶν Καβείρων καὶ Ἑρμοῦ (2). Ἕτεροι δὲ καὶ πρὸς τὴν βόρειον ἐτράποντ' Αἰολίδα καὶ Ἑλλήσποντον αὖθις ἄλλοι, τάχα που καὶ Χερσόνησον τὴν ἡμετέραν, ὡς ἐκ νομισμάτων ἔστιν ὧν Σηστοῦ δείκνυται(3), οἰκήσοντες. Αὐτοὶ δὲ οἱ Ἕλληνες τὴν χώραν ἐκ παλαιοτάτου ᾔδεσαν, ἤδη δὲ πλωϊμωτέρων ὄντων, ὡς μέν φασιν, οἱ Ἀργοναῦται (ἵνα μή τι Ἕλλης ἀῤῥώμεθα, ἧς τάφος ἐν Χερσονήσῳ ἐδείκνυτο) (4), ὧν βωμὸς ὑπερμεγέθης ἀνίδρυτο *Ἄργος* ἐπωνυμίαν ἔχων(5). Οἱ δ' ἐπὶ Τροίαν στρατεύσαντες εἰς γεωργίαν αὐτῆς ἐτράποντο καὶ λῃστείαν, τῆς τροφῆς ἀπορίᾳ(6). Πρωτεσίλαος δὲ πρῶτος Ἑλλήνων ἀποβὰς τεθάφθαι ἐπιστεύετο ἐν Ἐλαιοῦντι τῇ Χερσονήσου, οὗ θείαις τιμαῖς ἐπὶ πλεῖστον ἐθεραπεύετο(7). Αὐτόθι δὲ Ἀχιλλέως, ὡς λόγος, κωλύοντος μετὰ τὴν ἅλωσιν ἐπανακάμψαι οἴκαδε, δοκοῦσι περὶ τὸ Κυνόσημα προσορμίσασθαι(8).

§. 13. Ὅτε δὲ μετὰ τὴν Ἡρακλειδῶν κάθοδον

(1) Στράβ. XIII, σελ. 621.

(2) Ῥωμ. Ἀρχαιολ. I, 18.

(3) «Οἱ δ' ἄρα Περκώτην καὶ Πράκτιον ἀμφενέμοντο,
καὶ Σηστὸν καὶ Ἄβυδον ἔχον καὶ δῖαν Ἀρίσβην,
τῶν αὖθ' Ὑρτακίδης ἦρχ' Ἄσιος ὄρχαμος ἀνδρῶν.»
(Ἰλ. Β', 835).

(4) Ἡροδ. I, 151. Ἀρρ. Ἀναβ. I, 12, 6. Στράβ. XIII, 590.

(5) Ἡροδ. IX, 115. Πρβλ. Σκύμν. 710. Εὐσάθ. εἰς Διον. Περιηγ. στίχ. 513. Σκύμνος φησίν·
« Ἔπειτα ἐν Χερσονήσῳ Σηστὸς καὶ Μάδυτος αἱ κείμεναι
ἐπὶ τοῦ στενωτάτου Αἰολέων οὖσαι κτίσεις. »

(1) Ἀρίσβη πόλις ἐν Ἀσίᾳ παρὰ Στεφάνῳ τῷ Βυζαντίῳ λέγεται Μιτυληναίων ἄποικος. Στράβων δὲ φησι Λεσβίους τὰς χώρας ἐκείνας, οἷον δή τινας κλήρους πατρῴους. « Λεσβίων ἐπιδικαζομένων σχεδόν τι τῆς συμπάσης Τρῳάδος» (XIII, 599).

(2) Ἡροδ. II, 51.

(3) Ἡροδ. αὐτόθι.

(4) Ἡροδ. VII, 58.

(5) Ἡ ἐκ τῶν Ἀργείων τῶν ἐπὶ Τροίαν. Ἀπ. Συρ. 63.

(6) Θουκ. Α'. 11.

(7) «Οἱ δ' εἶχον Φυλάκην καὶ Πύρασσον ἀνθεμόεντα
. . . . . .
Τῶν αὖ Πρωτεσίλαος Ἀρηΐφιλος ἡγεμόνευεν
Ζωὸς ἐὼν· τότε δ' ἤδη ἔχεν κατὰ γαῖαν μέλαινα.
Τοῦ καὶ ἀμφιδρυφὴς ἄλοχος Φυλάκῃ ἐλέλειπτο,
Καὶ δόμος ἡμιτελής· τὸν δ' ἔκτανε Δάρδανος ἀνὴρ
Νηὸς ἀποθρώσκοντα πολὺ πρώτιστον Ἀχαιῶν.»
(Ὁμ. Ἰλ. Β, 695—705).

Πρβλ. Ἡροδ. IX, 116. Στράβ. XIII, 595. Παυσ. I, 34, 2. III, 4, 6. Φιλοστρ. Ἡρωϊκ. σελ. 368 (Boissonade).

(8) Plin. nat. h. IV, II, sect. 18.

(1104 π. Χ.) ἀποίκους ἐκ τῆς ἑαυτῶν πέμπειν ἤρξαντο οἱ Ἕλληνες, τὴν Χερσόνησον διὰ τὸ ἐπίκαιρον τῆς θέσεως οὐ παρεῖδον Αἰολεῖς καὶ Ἴωνες, οἱ μὲν τὰ πρὸς νότον καταλαβόντες, τὸ Αἰόλειον(1), Ἀλωπεκόννησον, Σηστὸν καὶ Μάδυτον, οἱ δὲ (Μιλήσιοι καὶ Κλαζομένιοι) Λίμνας καὶ Καρδίαν.

§. 14. Ἔτη δὲ πλεῖν ἡ τριακόσια μεθ' Ὅμηρον οἱ Θυνοὶ δοκοῦσιν ἐπιδραμεῖν Θρᾷκες, πολλαῖς δ' ἐφόδοις τὴν Θρᾴκην μονονοὺ πᾶσαν κατακλῦσαι καὶ τὰς Ἀσίας τῆς Ἑλάσσονος προσαρκτίους ἀκτὰς ἐκ τῆς ἀρκτῴας οὐκ ἀπιθάνως προϊόντες Εὐρώπης;(2). Ἔθνη δὲ καὶ τούτων ἐπικλήσεις καινὰ πάντῃ καὶ ξένα προκύπτουσιν, τῶν ἀρχαίων Θρᾳκικῶν καὶ Πελασγικῶν τῇ δέ τε κἀκεῖσε ἀπεωσμένων, ἀπ' Ἀξιοῦ δινήεντος ἐς Ἑλλήσποντον καὶ Πόντου Ἡράκλειαν, ἔθνη φωνῇ τε καὶ ἤθεσι καὶ ἱεροῖς βαρβαρίζοντα μᾶλλον καὶ σκυθίζοντα. Τούτων γοῦν τῶν νεωτέρων Θρᾳκῶν οἱ *Δόλογκοι*, Θυνικὸν γένος, οὐ πολλῷ μεθ' Ὅμηρον εἰσβαλόντες, ὥς φησιν Ἡρόδοτος καὶ ἄλλοι, τὴν Χερσόνησον ᾤκουν τοὺς ἀρχαιοτέρους τὸ μὲν ἐκβαλόντες ἐνοίκους, τὸ δ' ἀναμιγέντες, τοῖς Ἕλλησι μάλιστα, ἐφ' ἱκανὸν ἐπιδεδωκότες ἀνθρωπισμοῦ καὶ ἀρετώσεως, ὅτε γε πρὸς Ἀθηναίους ἐπικουρίας δεησόμενοι ἦλθον, πολέμοις ὑπ' Ἀψινθίων τῶν πρὸς βορρᾶν συνεχέσι πιεζόμενοι(3).

Πόλεις Χερσονήσου.

§. 15. Πόλεις ἐν τῇ χώρᾳ πολλαὶ ἔνεισι, παράλιοι τὰ πολλά, διὰ τὸ πανταχῇ περικεκλῦσθαι μονονοὺ τὴν χώραν τῇ θαλάσσῃ, ἔστιν αἳ δὲ καὶ κατὰ τὴν μεσόγαιαν(4). Καὶ κατ' αὐτό που τὸ Μακρὸν τεῖχος, ᾗ τῆς Θρᾴκης ἀφορίζεται ἡ Χερσόνησος, *Πτελεὸν* ὤκιστο, πολίχνιον πρὸς τὸν Μέλανα, ἐκ τῶν αὐτοῦ πτελεῶν πιθανῶς τὴν ἐπωνυμίαν εἰληφὸς(1), καὶ *Λευκὴ ἀκτὴ*, παρὰ τὴν Προποντίδα φρούριον, ἐν οἷς τὴν διορυχὴν ποιήσασθαι ἔμελλε Φίλιππος ὁ Μακεδών(2). Ἐνταῦθά που ὀψιαίτερον τρία πολισμάτια μνημονεύεται, *Ἀφροδισιάς*, *Θέσκος* καὶ *Κίβερις*, τείχεσιν ὑπὸ Ἰουστινιανοῦ ὀχυρωθέντα(3). Τούτων λόγου μέν τινος ἄξιον ἡ *Ἀφροδισιὰς* ἦν, ἐν χρόνοις οἰκισθεῖσα Αὐγούστου μέσων καὶ Ἀντωνίνων, ὡς ἐκ τοῦ καταλόγου τῶν ἐπισκόπων φαίνεται· εὕρηται γὰρ ἐν τούτοις Ἀφροδισιάδος καὶ Σαβσαδίας ἐπίσκοπος(4). Τὴν δὲ *Θέσκον*, φρούριον ἐχυρὸν παρὰ τὸν Μέλανα, αὐτὸς Ἰουστινιανὸς ἐρυμνότερον ἀπεργασάμενος, τῷ Μακρῷ τείχει προσήρτησεν(5). Ὡς δ' αὖτως καὶ *Κίβερι*, πόλ' ὑποστᾶσαν τῶν ἐπιτρεχόντων τὴν χώραν ἑκασταχῇ βαρβάρων, οἷον βασιλικώτερον ὁ αὐτὸς ἀνῳκοδόμησε, κατασκευαῖς πολυτελέσι καὶ ξενῶσι κοσμήσας, ἔτι δὲ καὶ ἐνοίκων προσθήκῃ ἐκ τῶν περιοικούντων ἐν μικρῷ εὐανδροῦσαν ἱκανῶς ἀνέφηνεν(6).

§. 16. Ἐν δὲ τῷ ἰσθμῷ τρεῖς ἔκειντο πόλεις κατὰ Στράβωνα, *Καρδία* παρὰ Μέλανα, *Πακτύη* παρὰ Προποντίδα, ἀμφοῖν δὲ μεσηγὺς ἡ *Λυσιμάχεια*(7). Ἡ Καρδία στάδια τετταράκοντα ἀφισταμένη τῆς Πακτύης, ὀλίγῳ δὲ πλεῖν τετρακοσίων ἀπὸ τῶν ἀκροτάτων πρὸς νότον τῆς χώρας, ἐπὶ τοῦ μυχαιτάτου ἔκειτο τοῦ Μέλανος, κτίσμα Μιλησίων καὶ Κλαζομενίων, Ἑρμοχάρους ἄγοντος(8), ἐκ τοῦ εἴδους τὴν ἐπωνυμίαν εἰληφυῖα(9), ἢ διὰ τὸ κόρακα τὴν καρδίαν ἀναρπάσαι τοῦ θύματος καὶ ἐνταυθοῖ μεταθεῖναι, Ἑρμοχάρους θύοντος(10). Διὰ δὲ τὸ κεῖσθαι καλῶς ἤρθη ἐπὶ μέγα δόξης καὶ δυνάμεως, ὥστε καὶ βάρβαρα ἔθνη τὰ πρὸς ἄρκτον ἀμύνεσθαι καὶ τῶν κατὰ τὴν χώραν προφέρειν πόλεων(11). Εὖ καὶ

(1) Plin. αὐτόθι.
(2) O. Ἄδελ Μακεδ. σελ. 48 τῆς ἑλλ. μεταφρ.
(3) Ἡροδ. VI, 34. Στέφ. ὁ Βυζ. ἐν λ. Κωνστ. ὁ Πορφυρογ. περὶ θεμ. 11, 2. Plin. N. h. IV, 11, 18. Solin X, 7.
(4) Ἡροδ. VI, 33. «Ἐν τῇ (Χερσ.) πόλιες συχναὶ ἔνεισι.» Σκύλαξ δὲ (490 π. Χ. Συλλ. Γεωγρ. Α'. 61). «Μετὰ δὲ τὸν Μέλανα κόλπον ἐστὶν ἡ Θρᾳκία Χερσόνησος καὶ πόλεις ἐν αὐτῇ αἵδε.» Σκύμνος δὲ ὁ Χῖος (80 π. Χ.) πολλὰς καὶ οὗτος τὰς ἐν Χερσονήσῳ καταλέγει πόλεις, ὧδε φάς·

«Ἡ δὲ Θρᾳκία Χερσόνησος ἐχομένη
Κεῖται, καθ' ἣν πόλις ἐστὶ πρώτη Καρδία,
. . . . . .»

(Σκύμν. Χίου Περιήγ. στίχ. 697—711 ἐν Συλλ. Γεωγρ. Α'. 544).

(1) Δημ. περὶ Ἁλον. σελ. 86. Φιλιπ. II, 73. Στέφ. Βυζ. περὶ ἄλλου Πτελεοῦ.
(2) Σκύλ. §. 65. Πρβλ. Ἡροδ. VII, 25.
(3) Ἀγαθίου, V, 12.
(4) Πτολεμ. III, 11. Προκοπ. IV, 10. Πρακτ. τῆς ἐν Ἐφέσῳ Συν. σελ. 790, τόμ. V, c. c.
(5) Προκοπ. Ἀγαθ. αὐτόθι.
(6) Προκοπ. περὶ τῶν Ἰουστιν. οἰκοδ. IV, 10 καὶ ἐφεξ. Ἀγαθ. ἔνθ. ἀνωτ.
(7) Στράβ. VII. Ἐπιτ. 52 Cramer.
(8) Στέφ. ὁ Βυζ. ἐν λ. Καρδία. Ὁ δὲ Δημοσθένους σχολιαστὴς ἐν τῷ περὶ εἰρήνης (σελ. 127) Ἑρμοκράτη τὸν Καρδίας καλεῖ οἰκιστήν.
(9) Solin c. X, 20. Plin. N. h. IV, 11, sect. 18.
(10) Στέφ. ὁ Βυζ. ἐν λ. Καρδία· καὶ σχολ. Δημοσθ. ἐν τῷ περὶ εἰρήνης, ἔνθ. ἀνωτ.
(11) Ἀππ. περὶ τῶν ἐμφυλ. πολέμ. IV, 88.

καλῶς τὰ κατὰ τὴν Χερσόνησον εἰδὼς ὁ Δημοσθένης, περὶ Καρδίας τά δε φησίν· « Ὥσπερ γὰρ Χαλκὶς τῷ τόπῳ τῆς Εὐβοίας πρὸς τῆς Βοιωτίας κεῖται, οὕτω Χερρόνησου κεῖται πρὸς τῆς Θρᾴκης ἡ Καρδιανῶν πόλις» (1). Οὐ μὴν ἀλλὰ διὰ τὸ φιλέξοδον καὶ δὴ καὶ φιλέμπορον οἱ Καρδιανοὶ ἐμπορεῖα συνῴκισαν ἐπὶ τοῦ Μέλανος, Κύβρον καὶ Κύπασιν, Καρδίας οὐ μακράν(2). Ἄσμενοι δὲ καὶ Μιλτιάδην εἰς Χερσόνησον ἀφικόμενον ὑπεδέξαντο, ἅτε βαρέως τὴν βίαν φέροντες Θρᾳκῶν τῶν βαρβάρων(3)· τῷ δὲ τείχει, ὅπερ Μιλτιάδης ἤγειρε, κατοχυρωθέντες, μόνοι Χερσονησιτῶν εὐθαρσῶς τοὺς Φοίνικας, οὓς πρὸς χείρωσιν Δαρεῖος ἔπεμψεν, ἤμυναν(4). Ἀλλὰ μὴν τῷ ὀγκηρῷ τῆς Περσῶν δυνάμεως ἀντισχεῖν οὐκ ἔχοντες, Περσῶν, Μιλτιάδου διαδράντος, Ξέρξου δ' ἐπὶ τὴν Ἑλλάδα ἐλαύνοντος, ἐγένοντο κατήκοοι(5). Οὐ πολλῷ δ' ὕστερον τῶν πολεμίων παρὰ Μυκάλην ἡττηθέντων (479 π. Χ.), ἡ Χερσόνησος πᾶσα ὑπ' Ἀθηναίους ἐγένετο μετὰ τὴν Σηστοῦ ἅλωσιν(6). Καὶ ὡς μὲν Ἀθηναίοις τελοῦσα εἶχεν, οὐ δῆλον ἀκριβῶς. Εἶτα δὲ καὶ τοῖς Θρᾳκῶν βασιλεῦσιν ὑπόφορος ἦν(7), ἕως εἰρήνης γενομένης Ἀθηναίοις καὶ Φιλίππῳ τῷ Μακεδόνων (346 π. Χ.), ἐλεύθεροι τρόπον δή τινα ἐγένοντο καὶ ξύμμαχοι Φιλίππου, τοῖς οἰκείοις νόμοις χρώμενοι(8). Ταύτης ἐγεγόνεσαν τὸ τότε ἄνδρες δύο περιφανεῖς τὰ μάλιστα, Εὐμένης τῶν στρατηγῶν Ἀλεξάνδρου, καὶ Ἱερώνυμος(9)· ὧν ὁ μὲν Βαρσίνην γήμας τοῦ βασιλείου τῶν Μακεδόνων γένους, Περδίκκα δὲ εὐδοκοῦντος, ἡγεμὼν ἀνεδείχθη Καππαδοκίας καὶ Παφλαγονίας· καταπολεμηθεὶς ὕστερον ὑπ' Ἀντιγόνου, ἑάλω τε καὶ ἐσφάγη ἐν μάχῃ τῇ ἐν χώρᾳ Γαβηνῶν· ὁ δὲ στρατηγὸς ἅμα καὶ ἱστορικὸς ἦν. Ἐπὶ Ἀλεξάνδρου ἐτυράννευε Καρδίας Ἑκαταῖος, τῶν ἐπιχωρίων τις εἶναι δοκῶν. Τούτῳ καὶ Εὐμένει πατρική τις ἐκ πολιτικῶν διαφορῶν ὑποψία ἦν πρὸς ἀλλήλους· διόπερ πολλάκις ὁ Εὐμένης φανερῶς κατηγόρει Ἑκαταίου τυραννοῦντος, Ἀλέξανδρον δὲ παρεκάλει ἀποδοῦναι τοῖς Καρδιανοῖς τὴν ἐλευθερίαν(1). Λυσίμαχος ὕστερον, κύριος τῆς Θρᾴκης γενόμενος, πλείστους τῶν οἰκητόρων εἰς τὴν ἄρτι οἰκισθεῖσαν μετήγαγε Λυσιμάχειαν, Καρδίας εἰ μὴ καταστραφείσης πάμπαν, ἀλλὰ γοῦν πολλῷ τῷ μέτρῳ τῆς πάλαι ἐκπεσούσης λαμπρότητος(2). Καὶ Στράβων μὲν τῆς ἀρχαίας δόξης μνήμων, ἀρείω τῶν ταύτῃ φησὶν αὐτὴν πόλεων(3), Παυσανίας δὲ κώμην, οἷα περ καὶ πολλῷ ὕστερον ἐπὶ τῶν Βυζαντινῶν διετέλεσεν(4). Καταληφθεῖσαν ὑπὸ τῶν Λατίνων, Ἰωάννης Δούκας ὁ Βατάτζης ἀνεκτήσατο (1222—1255) (5)· ἀλλὰ μὴν τῷ χρόνῳ παρήνθει, ὥστε καὶ ἀφανισθῆναι τό γε νῦν τέλεον.

§. 17. Ἡ δὲ *Πακτύη*, ἐπὶ τῇ Προποντίδι, Καρδίας ἀπέναντι, μείονος ἦν λόγου· οὔτε γὰρ ταῖς Ἀθηναίων ὑποφόροις πόλεσιν ἦν ἐναρίθμιος, οὔτε νομίσματ' ἄττα τῷ αὐτῆς ὀνόματι ἐγκεχάρακται. Ἀποικίαν ἐδέξατο Ἀθηναίων, ἴσως ᾠκισμένη πρότερον, Μιλτιάδου ἄγοντος(6)· ἐπὶ δὲ Λυσιμάχου, εἰς Λυσιμάχειαν τῶν οἰκητόρων μετοικισθέντων(7), παρήνθει καὶ ἐν βραχεῖ ἠφάνιται.

§. 18. Παρὰ δὲ Πακτύην πιθανῶς καὶ ὁ τάφος ἔκειτο Ἕλλης τῆς Ἀθάμαντος αὐτόθι που καὶ ὁ βωμὸς Ἄργος ἐπίκλην διὰ τὸ ὑπ' Ἀργοναυτῶν ἱδρυθῆναι νομίζεσθαι, ἢ Ἕλλησιν Ἀργείοις, τοῖς ἐπὶ Ἴλιον(8), ὃν Ξέρξης ἐπὶ τὴν Ἑλλάδα ἐλαύνων διὰ Χερσονήσου, δεξιᾷ μὲν τὸν τάφον εἶχε τοῦτον, τὴν Καρδίαν δὲ λαιᾷ, ὥς φησιν Ἡρόδοτος(9). Περὶ ταῦτα Πτολεμαῖος ὁ Κεραυνὸς Σέλευκον τὸν Συρίας βασιλέα εἰς Λυσιμάχειαν ἰόντα ἔκτεινεν(10).

§. 19. Ἡ δὲ *Λυσιμάχεια*, ὑπὸ Λυσιμάχου οἰκισθεῖσα (309 π. Χ.) (11) μετὰ τοὺς κατὰ τῶν Θρᾳκῶν πολέμους, τοῦ ἰσθμοῦ μεσηγὺς ἔκειτο, ἔνθεν μὲν Πακτύην, ἔνθεν δὲ Καρδίαν ἔχουσα(12).

(1) Δημ. κατὰ Ἀριστοκρ. σελ. 681.
(2) Σκύλ. §. 68. Πρβλ. Στέφ. Βυζ. ἐν λλ.
(3) Σκύμν. στίχ. 701. Στράβ. VII. Ἐπιτ. 52 Cramer.
(4) Ἡροδ. VI, 33.
(5) Ἡροδ. IX, 115.
(6) Ἡροδ. αὐτόθι.
(7) Δημ. Ἀριστοκρ. ἔνθ. ἀνωτ.
(8) Ἐπιστ. Φιλίπ. παρὰ Δημ. σελ. 161.
(9) Πλουτ. Εὐμ. Corn. Nep. Eumenes. Παυσαν. I, 9, 8, καὶ I, 13, 9.

(1) Πλουτ. Εὐμ. Γ'.
(2) Παυσ. I, 9. 8, Plin. Nat. h. IV, II, sect. 18. Στέφ. ὁ Βυζ. ἐν λ. Λυσιμάχεια « ἡ πρότερον Καρδία.» Ἀππιανὸς δὲ (Ἐμφ. πολ. IV, 88) οὐκ ἀπολομένην ἀναφέρει τὴν Καρδίαν.
(3) Στράβ. VII. Ἐπιτ. 52 Cram.
(4) Παυσ. I, 10, 5.
(5) Νικηφ. Γρηγ. II, 3, σελ. 16.
(6) Ἡροδ. VI, 36. Σκύμν. στίχ. 712.
(7) Παυσαν. I, 9, 8.
(8) Ἔνθ. ἀνωτ. §. 11.
(9) Ἡροδ. VII, 58.
(10) Ἀππ. Συρ. 63.
(11) Πολυβ. V, 34. Στράβ. II, σελ. 134. VII, 331. Παυσ. I, 9, 8. Διοδ. XX, 29. Πτολ. III, 11, Mela II, 2, 6. Flor. II, 8.
(12) Στράβ. VII. Ἐπιτ. 54. καὶ VII. Ἐπιτ. 52 Cram. Ἔνθ. ἀνωτ. §. 15.

Τείχεσιν εὐόχυρος κατά τε Θρᾳκῶν καὶ τῶν ἐξ Ἀσίας, πλήθει τε ἀνδρῶν ἐκ Πακτύης μάλιστα καὶ Καρδίας, ναοῖς τε, οἷον Λυσιμάχειον, ἐν ᾧ τὰ Λυσιμάχου ὀστᾶ ἐναπετέθειτο (1), κατασκευαῖς χρωμένη πολυτελέσιν, ἐπὶ πλεῖστον ἤρθη δόξης καὶ δυνάμεως ἐν βραχεῖ, ὡς δ' αὕτως τοῦ δαίμονος βασκήναντος παρήκμασεν. Ἔτεσι γὰρ δυσὶ πρὸς εἴκοσι μετὰ τὸν οἰκισμὸν σεισμοῖς ἀνετράπη (2)· ἀνοικοδομηθεῖσα, δόλῳ ὑπὸ Γαλατῶν τῶν εἰσβαλόντων κατελήφθη (279 π. Χ.), ἅπασαν διαπορθησάντων τὴν Ἑλλάδα(3). Ὑπὸ δὲ Πτολεμαίου καταληφθεῖσα τοῦ Εὐεργέτου (246 π. Χ.) κατελείφθη αὖθις, Πτολεμαίου τοῦ Φιλοπάτορος βασιλεύοντος(4), Αἰτωλοῖς τότε ἰσχύουσιν, οἷον ἀμύντορσιν, ἑαυτὴν ἐπιτρέψασα, τὴν δήωσιν δεδιυῖα τὴν Θρᾳκῶν (5). Αἰτωλῶν δὲ τὸν στρατηγὸν ἐκβαλὼν καὶ τοὺς φρουροὺς Φίλιππος ὁ Γ'. Μακεδὼν ἐπὶ χρόνον οὖν τινα τὴν πόλιν ἔσχε (6)· τούτου δὲ καταλιπόντος πόλ' ὑπέστη ἐκ Θρᾳκῶν λῃσαμένων καὶ πορθησάντων καὶ τῷ πυρὶ παραδόντων (7). Οὕτωσὶ ἔχουσαν Ἀντίοχος ὁ Μέγας τῶν Σελευκιδῶν, τῆς ἐκ παλαιοῦ δόξης μνήμων, ἁδροῖς τοὺς αἰχμαλώτους πριάμενος λύτροις καὶ συναγαγὼν, τούτοις δὲ καὶ ἑτέρους προσθεὶς νέους, ἀνῳκοδόμησεν ἀριπρεπέστερον καὶ ὠχύρωσε, κλῆρον Σελεύκῳ τῷ υἱῷ παρασκευαζόμενος (8). Πλὴν ἀλλ' ὅμως ἡττηθεὶς ὑπὸ Ῥωμαίων παρὰ Μυόννησον, ἐγκαταλιπὼν αὐτὴν ὅλως διὰ τὸ μὴ κατέχειν εἶναι οἷόν τε, ἀπῆρεν εἰς Ἀσίαν καὶ Σάρδεις. Ἦν καταλαβὼν Σκιπίων προσετίθει Εὐμένει τῷ Περγαμηνῷ φιλορῥωμαίῳ (9). Μετὰ δὲ τὸν Εὐμένους θάνατον Διήγελος, Καινίων Θρᾳκῶν ἄρχων ἀπηνὴς καὶ δεινὸς, μίσει πρὸς Ἄτταλον διεπόρθησεν, βασάνοις δὲ χαλεπωτάταις τοὺς τῶν οἰκητόρων ὑπερφέροντας πιέσας, πυρὶ ἠνάλωσεν. Ἄτταλος μέν τοι τοὺς αἰχμαλώτους λυτρούμενος, εὐμενῶς ἐθεράπευσε, καὶ τὴν πόλιν μετὰ τὸ τιμωρῆσαι Διήγελον ἀνῳκοδόμησε· μνημονεύεται μέν τοι οὖσα ἐν ταῖς Χερσονήσου πόλεσιν ὑπ' Ἀμμιανοῦ τοῦ Μαρκελλίνου (4 ἑκατ. μ. Χ.) (1), ἕως ὑπὸ σεισμῶν (14 ἑκατ.) τέλεον ἐξηφάνισται (2). Νομίσματα ἔς γε τὸ νῦν ἐξειργασμένα ὅτι μάλιστα τὴν ἀκμὴν τῆς πόλεως καταφαίνουσι.

§. 20. Οὐκ ἄπο Καρδίας ἡ *Ἀγορὰ* ἔκειτο ἐν τῷ ἰσθμῷ, δι' ἧς διέβη Ξέρξης πρὸς Μέλανα ἰὼν κόλπον (3). *Τεῖχος δ'' Ἀγοραῖον* παρὰ Στεφάνῳ εὕρηται τῷ Βυζαντίῳ, ταὐτὸν πιθανῶς Ἀγορᾷ, ἢ περὶ αὐτήν που χωρίον ἐχυρὸν ὁμώνυμον εἴη ἄν (4). Ὅτι δὲ ἡ Ἀγορὰ καὶ *Χερσόνησος* ἁπλῶς ποτ' ἐκαλεῖτο, αὕτη δὲ πόλις ἦν ἀρχαία ἱκανῶς ἐν τῷ ἰσθμῷ, ἐφ' ἱκανὸν ὑφισταμένη καὶ ἀκμάζουσα, οὐ μόνον ἐκ συγγραφέων ἔστι τεκμήρασθαι καὶ νομισμάτων οὐκ ὀλίγων παναρχαίων, ἀλλὰ καὶ ἐκ τῶν φορολογικῶν πινάκων, ἐν οἷς Χερσονησῖται ἀπ' Ἀγορᾶς καὶ ἁπλῷ τῷ λόγῳ *Χερσορησῖται* εὑρηνται τελοῦντες Ἀθηναίοις δύο τάλαντα, εἰ μὴ μόνοι, ἀλλὰ γοῦν μετ' ἄλλων κοινῇ (5). Οἰκισθείσης Λυσιμαχείας καὶ ἐπιδιδούσης ἐκπίπτειν ἐφίλει Ἀγορὰ καὶ τ' ἀνάπαλιν.

§. 21. Ἀπὸ δὲ ἰσθμοῦ τὸν Μέλανα παραπορευομένοις κόλπον ἔστιν ἰδεῖν ἃ μετὰ Καρδίαν πολισμάτια Σκύλαξ μόνος τίθησιν, *Ἴδην* καὶ *Παιῶνα*, καὶ *Δράβον* (6), ἀλλὰ μὴν οὐκ ἀλόγως πολλοῖς τισιν ἐφθάρθαι τὸ χωρίον ἔδοξε. Μετὰ δὲ *Αἶμναις* πολίχνη, Μιλησίων ἄποικος, κατά γε Σκύμνον (7), Ἀναξιμένη (8) καὶ Ἑκαταῖον (9), πολλάκις ἐν τοῖς τῶν φόρων φερομένη πίναξι, χιλιάδας τέτταρας, ὅτε τὸ πλεῖστον, δραχμῶν τελοῦσα Ἀθηναίοις καθάπερ Μάδυτος. Πρώτῃ τῇ μετὰ Χριστὸν ἑκατονταετηρίδι ἠφανίσθαι δοκεῖ ὑπὸ μόνου μνημονευομένη Στράβωνος. Ἐφεξῆς δ' ἐπὶ τῇ θαλάσσῃ ἡ *Ἀλωπεκόννησος* πόλις ἔκειτο ἐπὶ ἄκρας πρὸς Ἴμβρον τετραμμένη. Ὑπὸ μὲν Αἰολέων τὸ πρῶτον οἰκισθεῖσα, τῷ δὲ τοῦ βασιλέως ὀνόματι *Κάληρος* κληθεῖσα, Ἀθηναίων ἀποικίαν ὕστερον ἐδέξατο, παρ' ὧν καὶ τὴν προσηγορίαν εἴληφεν (1). Ἀθηναίοις γὰρ χρωμένοις ἡ Πυθία ἔλεξεν ἐκεῖσε ἀποικίαν πέμψαι, ὅπῃ σκύλακας εὕροιεν ἂν ἀλώπεκος. Ἐνταῦθα δ' εὑρόντες τὴν πόλιν οὕτωσὶ ἐπεκάλεσαν (2), ὡς καὶ ἐκ τῶν νομισμάτων δῆλον· ἀλώπεκα γὰρ τὰ τῆς πόλεως πάντα νομίσματα ἐγκεχαραγμένην φέρουσιν (3). Ἀκμάσαι δὲ ἐκ παλαιοῦ ἔτι φαίνεται, ἓν δὲ τάλαντον τελεῖν Ἀθηναίοις καθάπερ Ἐλαιούσιοι. Ἐπὶ Δημοσθένους λῃστῶν ἔβριθε καὶ ἀνδραποδιστῶν, ἀνδρῶν κακοεργῶν, πιεζομένη δὲ ἐπικουρίαν Ἀθηναίων ἔλαβεν (4). Ὡς δ' αὖτως Φιλίππου καταστρέψασθαι ἐπιχειρήσαντος, Ἀθηναῖοι ἀπήλλαξαν καὶ ταύτην τῶν ἀδίκων ἐκείνου χειρῶν, καὶ Μάδυτον, καὶ Σηστὸν, καὶ Ἐλαιοῦντα, ἀνθ' ὧν χάριν φέροντες τῶν μεγίστων καὶ ἀρίστων χρυσῷ στεφάνῳ τὴν Ἀθηναίων Βουλὴν καὶ τὸν δῆμον ἐστεφάνωσαν (5). Πρώτῳ μετὰ Χριστὸν αἰῶνι ἔφθινεν (6). Τέλος δὲ ἡ ὑπὸ Σκύλακος *Ἀραπλος* καὶ Πλινίου *Πάνορμος* πολίχναι πιθανῶς ναύλοχοί τινες ἦσαν καὶ ἐμπορίας χάριν νεῶν κρησφύγετα· διὸ ἐν βραχεῖ ἠφάνισται (7).

§. 22. Παρὰ δὲ Ἑλλήσποντον πρὸς νότον καὶ ἠῶ ὁ (ἡ) *Ἐλαιοῦς* ἔκειτο, ἀπὸ μὲν Σιγείου τετταράκοντα, ἀπὸ δὲ Ἑπτασταδίου τοῦ παρὰ Σηστὸν ἑκατὸν καὶ ἑβδομήκοντα, ἀπὸ δὲ Καρδίας τετρακόσια ἀφιστάμενος στάδια. (8). Ταύτην μὲν Ἀθηναῖοι ᾤκισαν, οἰκιστὴς δὲ ἐγένετο Φόρβας (9). Ἐν ταύτῃ ὁ περιλάλητος ἵδρυτο Πρωτεσιλάου, ἥρως Θεσσαλοῦ, τάφος καὶ τέμενος περὶ αὐτὸν, *Πρωτεσιλάειον*, ἔνθα χρήματα πολλὰ ἦν καὶ φιάλαι, καθ' Ἡρόδοτον, χρύσεαι καὶ ἀργύρεαι καὶ χαλκοῦ καὶ ἐσθῆς καὶ ἔτερ' ἀναθήματα συχνά (10). Λιμένι ὁ Ἐλαιοῦς ἐχρῆτο μετρίῳ οὐκ ἄπο τῆς πόλεως, πρὸς ὃν Πέρσαι τε καὶ Ἀθηναῖοι ὡρμίζοντο συνεχῶς, καὶ Κωνσταντῖνος αὐτοκράτωρ μεθύστερον πολεμῶν πρὸς Λικίνιον, καὶ τείχεσιν ὠχύρωτο οὐ πάνυ ἀσφαλέσιν (1). Τῷ χρόνῳ δὲ φθίνουσαν ὠχύρωσεν Ἰουστινιανὸς αὐτοκράτωρ, τεῖχος ἐγείρας ἐπὶ τῇ πρὸς θάλασσαν ἀπορρῳγι (2). Πλήθει ἀνθρώπων ἡ πόλις μεγάλη οὐ σφόδρα τις δοκεῖ γενέσθαι, ὡς ἔκ τε τῶν ἐρειπίων καὶ τῶν φόρων οὓς κατὰ ταὐτὸν Ἀλωπεκοννήσῳ Ἀθηναίοις ἐτέλει, ἔστι τεκμήρασθαι. Πολλῷ δὲ ὕστερον Χριστοῦ ὑφίστασθαι φαίνεται (3), τὸ δέ γε νῦν ἐρείπια ταύτης ἱκανῶς καὶ τοὔνομα τῆς θέσεως *Ἐλὲς μποροὺν* περὶ ταύτης μαρτυρεῖ (4).

§. 23. Τοῦ δ' Ἐλαιοῦντος πρὸς βορρᾶν ἀκρωτήριον προέχον εἰς θάλασσαν τὸ *Κυνόσημα* ἦν, ὀξὺ καὶ γωνιῶδες, ἔνθα τὴν Ἑκάβην τεθάφθαι ἐλέγετο (5).

§. 24. Ἐντεῦθεν δὲ τοῖς παραπλέουσι τὸν Ἑλλήσποντον ἡ *Μάδυτος* προφαίνεται, κτίσμα Λεσβίων (Αἰολέων) (6). Λιμένι οὐ πάνυ ἀνικάνῳ χρωμένη πρὸς νεῶν ὅρμον, οὔτε ὅλως ἀνόχυρος, εὐφυῶς δὲ κειμένη οὐκ ἐπὶ πολὺ πάλαι τε καὶ ὕστερον ἤρθη δυνάμεως. Τοῖς Ἀθηναίοις ὑπόφορος οὖσα, χιλιάδας δραχμῶν ἐτέλει τέτταρας· ἐπὶ μέν τοι Ῥωμαίων, τῶν παρακειμένων Κοίλων, πόλεως Ῥωμαίοις ἰσοπολίτιδος, ἐνδεεστέρα ἐγένετο πλήθει τε ἀνδρῶν καὶ ἐλευθερίᾳ, ἣν οἱ Ῥωμαῖοι ἐδεδώκεσαν. Τούτων δ' αὖ φθινόντων, ἡ Μάδυτος ἀνέθορε, πλούτῳ δὲ καὶ πλήθει ἀνδρῶν ηὔξηται. Ἀθηναίων δὲ πρὸς Πελοποννησίους τὸν μακρὸν πολεμούντων πόλεμον, ἔσθ' ὅτε οἱ στρατοὶ αὐτόθι διέτριβον (7). Βαθμηδὸν δὲ ὑπὸ Λακεδαιμονίοις καὶ Θρᾳξὶ γενομένη, εἶτα δ' Ἀθηναίοις πάλιν αὖ, τῶν Φιλίππου καὶ αὖτη ἀπηλλάγη χειρῶν, βοηθησάντων Ἀθηναίων· ἐφ' ᾧ καὶ μετέσχε τοῦ χρυσῷ στεφανῶσαι στεφάνῳ μετὰ τῶν ἑτέρων (8). Φιλίππῳ δὲ τῷ Γ', Μακεδόνων βασιλεῖ ὕστερον καὶ Ἀντιόχῳ Μεγάλῳ τῷ Συρίας ἑκοῦσα ἑαυτὴν παρέδοτο ἰσχύσασιν (9).

---

(1) Ἀπ. Συρ. 64.
(2) Iust. XVII, 1. Oros. III, 23.
(3) Παυσ. X, 23, 14. Liv. XXXVIII, 16.
(4) Πολυβ. V. 34. XVIII, 34.
(5) Πολυβ. XV, 23, XVII, 3, 4.
(6) Πολυβ. XVII, 34. Liv. XXXII. 33.
(7) Πολυβ. XVII, 4. XVIII, 34. Liv. XXXIII, 38.
(8) Πολυβ. XVIII, 34. XXI, 12. Liv. XXXIII, 38. Ἀπ. Συρ. I, 1 καὶ 3.
(9) Πολυβ. XXII, 27. Liv. XXXVIII, 39.

(1) Στράβ. XIII, σελ. 624. Plin. ἔνθ. ἀνωτ. Ἀμμ. Μαρκελ. XXII, 8.
(2) Νικηφ. Γρηγ. V, 7. σελ. 92 καὶ XIV, 2, σελ. 434.
(3) Σκύλ. §. 68. «Ἐν τῷ μέσῳ (τοῦ αὐχένος) πόλις, ᾗ ὄνομα Ἀγορά.» Ἡροδ. VII, 58.
(4) Στέφ. ὁ Βυζ. ἐν λ.
(5) Στέφ. ὁ Βυζ. ἐν λλ. Σουϊδ. σχολ. Ἀριστ. Ἱππ. στίχ. 262. Ἑκατ. παρὰ Στεφ. τῷ Βυζ. «Ἔστι Θ'. πόλις ἐν τῇ Θρᾴκῃ Χερρόνησος, περὶ ἧς Ἑκαταῖος ἐν Εὐρώπῃ· ἐν δὲ αὐτοῖσι πόλις Χερσόνησος ἐν τῷ ἰσθμῷ τῆς Χερσονήσου.» Καὶ τὸν πολίτην Χερρονησίον φησὶν· «Ἀψινθίοισι πρὸς μεσημβρίαν ὁμουρέουσι (Χερσονήσιοι)».
(6) Σκύλ. §. 67.
(7) Σκύμ. στίχ. 705.
(8) Παρὰ Στράβ. XIV, σελ. 635.
(9) Ἑκατ. παρὰ Στεφ. τῷ Βυζ. ἐν λ.

(1) Δημ. Ἀριστοκρ. σελ. 676. Σκύμ. στίχ. 706. Στέφ. ὁ Βυζ. ἐν λλ. Ἐτυμ. Μ. ἐν λ.
(2) Στέφ. Βυζ. καὶ Ἐτυμ. Μ. ἔνθ. ἀνωτ.
(3) Mionnet, I, σελ. 425. Suppl. I, II, 322.
(4) Δημ. Ἀριστοκρ. σελ. 676.
(5) Δημοσθ. περὶ Στεφ. σελ. 265.
(6) Mela II, 2, 7. Plin, ἔνθ. ἀνωτ. νῆσον διὰ τὸ μὴ γινώσκειν ἢ τὸ ἄσημόν φησιν. Παρὰ τοῖς ὕστερον ἐλλείπει τέλεον.
(7) Plin. αὐτόθι.
(8) Σκύμ. στίχ. 707. Στράβ. XIII, 595. VII, Ἐπιτ. 52, 62.
(9) Σκύμ. 708, ἔνθα Τηϊκὴν εἰς Ἀττικὴν μετέτραπται ὀρθῶς ἀποικίαν.
(10) Ἡροδ. IX. 116, ἔνθ, ἀνωτ. §. 11. Παρθλ. Ἀρῥ. Ἀναβ. I, 11.

Ἐπὶ δὲ Ῥωμαίων καὶ Βυζαντινῶν θρόνῳ ἐπισκόπου ἄχρι τοῦδε τετίμηται, Καλλιουπόλεως καὶ Μαδύτων (1). Πολλῷ ὕστερον Καταλάνων εἰσβαλόντων, μετὰ ἐννεάμηνον ἅλω πολιορκίαν (1308 μ. Χ.) (2), ὑπὸ δὲ Ὀθωμανῶν τῷ 1360 (3). Ἴχνη ἀκροπόλεως ἔς τε τὸ νῦν παρὰ Μάδυτον τὴν καθ' ἡμᾶς ἐπὶ λόφου δείκνυται.

§. 25. Μαδύτου δ' ὄπισθεν πρὸς ἄρκτον ὁ Ἑλλήσποντος *κοῖλον ὅρμον* ἀπεργάζεται, ὡς τοῖς ἀρχαίοις δεδήλωται, νεῶν κρησφύγετον, ἔνθα, ὥς φησι Μέλας, ὁ Λακεδαιμονίων στόλος διασκεδασθῆναι φαίνεται κατὰ τὴν ναυμαχίαν, ἣς Θουκυδίδης ἐν τῷ τέλει τῆς ξυγγραφῆς ἐμνημόνευσεν (4), ὃς περὶ μὲν ὅρμου οὐδὲν, *Ἴδακον* δέ τινα καὶ *Ἀρριανὰ* ἔγραψεν, εἰ μή τι τὸ χωρίον ἔφθαρται. Εἴκ οὖν ἂν ὁ μὲν Ἴδακος τόπος τις Ἀβύδου, τὰ δ' Ἀρριανὰ Δαρδάνου καταντίον. Λιμένος δὲ πρῶτοι Μέλας καὶ Πλίνιος μνείαν ἐποιήσαντο (5), παρ' ᾧ πολίχνη ὁμώνυμος *Κοῖλα*, παρὰ Πτολεμαίῳ ἀναφερομένη πρώτῳ (6) καὶ τοῖς ὕστερον, κολωνῷ τινι εἰς θάλασσαν προέχοντι ἀφοριζομένη Μαδύτου, ἐν βραχεῖ λαβοῦσα τὴν ἐπίδοσιν (ὡς δ' αὖτως καὶ φθίσιν μεθ' ὕστερον) ὅτ' Ἀδριανὸς ὁ αὐτοκράτωρ καὶ ταύτην δι' εὐμένειαν ἐν ταῖς ἰσοπολίτισιν ἔταξε καὶ θρόνῳ Ἐπισκόπου τοῦ Καλλιουπόλεως ἐτετίμητο. Ἐξέλιπε δ' ὕστερον, τὸ δέ γε νῦν ἐρείπια ἱκανὰ καὶ τοὔνομ' αὐτὸ τεκμηριοῖ τὴν θέσιν.

§. 26. Μετὰ δὲ Κοῖλα, πρὸς τῷ Ἑλλησπόντῳ, ἡ *Σηστὸς* ἔκειτο (7), μικρὰ μὲν, ἀλλ' ἡ ἀρίστη τῶν τῇδε καὶ εὐόχυρος, πρὸ τῶν Τρῳϊκῶν ἀπὸ Πελασγῶν τὴν ἀρχὴν ἔλκουσα, αὖθις δ' ὕστερον Αἰολεῖς ἐκ Λέσβου ἀποίκους σχοῦσα. Τείχει δυοῖν πλέθροιν τῷ λιμένι συνείχετο, προάστειον ἔχουσα παρὰ τὴν θάλασσαν ἀτείχιστον, παρὰ δὲ τὴν ἀκτὴν, ὁ Ἡροῦς ἦν πύργος, περὶ ἧς τοσαῦτα διατεθρύλληται (8). Μνημεῖα λέγεται κεκτῆσθαι τὴν πόλιν ἀρχαιότατα, διὸ δὴ καὶ σεμνὰ, ὥστε καὶ αὐτὸν Ἀχιλλέα μὴ ἐπεμβῆναι αὐτήν (1). Ἐπὶ τῶν Μηδικῶν ἐχυρὰ ἦν ἐς τὰ μάλιστα, οἱ Ἀθηναῖοι δὲ μόγις δι' ὅλου χειμῶνος Ξανθίππου ἡγουμένου πολιορκοῦντες εἷλον (2). Ὑπὸ Στρομβιχίδου, Ἀθηναίων ναυάρχου, φρούριον καὶ φυλακὴ καταστᾶσα παντὸς Ἑλλησπόντου (411 π. Χ.), ἐπὶ μέγα Ἀθηναίοις ἐλυσιτέλησε παρὰ πάντα τὸν μακρὸν πόλεμον (3). Τούτου δὲ πέρας λαβόντος, Δερκυλλίδας ὁ Λακεδαιμόνιος, ἐπιόντος Φαρναβάζου καὶ Κόνωνος, ἐνταῦθα κατέφυγεν ἀσφαλῶς, ἕως ἀπειπὼν Φαρνάβαζός τε καὶ Κόνων ἐπ' οἶκου ἀπῆλθον (4). Ὠλιγώρητο δὲ μόνον οἰκισθείσης Λυσιμαχείας. Φιλίππῳ γὰρ Γ΄. Μακεδόνι καὶ Ἀντιόχῳ Μεγάλῳ τῷ Σύρῳ ἰσχύσασιν ἑκοντεὶ παρεδόθη (5). Ὀψὲ δὲ ἦν, ὅτε Ἰουστινιανὸς ὁ αὐτοκράτωρ τῶν τειχῶν κατεπεπονημένων ἐπὶ λόφου τοῦ παρακειμένου φρούριον ἤγειρεν ἀπρόσβατόν τε καὶ δυσπολέμητον (6), ἀειδήποτε ἐν τοῖς ἐφεξῆς δι' ἐπιμελείας ὃν καὶ ταὐτόν που τῷ Ζεμενὶκ Ἰσὰρ, ὡς ἔοικεν, ὅπερ οἱ Τοῦρκοι ὕστερον, εἰς Εὐρώπην ἐξ Ἀσίας μεταβαίνοντες, πρῶτον κατέλαβον. Διὰ τὸ ἐπίκαιρον ἡ Σηστὸς μᾶλλον Ἀθηναίοις ἢ αὐτοῖς Σηστίοις ἦν ὠφέλιμος· οἳ ὅτι μικράν τινα δοκοῦσι λαβεῖν τὴν ἐπίδοσιν, ἔκ τε τῶν ὀλίγων, οὓς ἐτέλουν Ἀθηναίοις φόρους, εἰκάσαι ἔστι, καὶ τῆς περιμέτρου καὶ ταύτης οὔτι πολλῆς. Ὡς δ' αὖτως τὸ ἐλλιμένιον μᾶλλον Ἀθηναίοις προσῆει, κυρίοις τῶν παρόδων. Ὃ δὲ μάλιστα τὴν Σηστίων ἐπίδοσιν κωλῦσαι φαίνεται, τοῦτ' ἐστι, τὸ Ἀβυδηνοὺς ἔχειν ἀντιζήλους τοὺς ἀντίον, καὶ τὸ ἀείποτε πολέμοις πιέζεσθαι ἐν τῇ αὐτῶν. Ἔφθινε δὲ τῶν Τούρκων εἰς Εὐρώπην μεταβάντων, ὥστε τό γε νῦν ἠφανίσθαι τέλεον.

§. 27. Ἡ Σηστὸς ἐν ταῖς ἀρχαιοτάτη δοκεῖ εἶναι τῶν τῇδε πόλεσιν, ἅ τε παρ' Ὁμήρῳ μετά τινων κατ' Ἀσίαν πόλεων συγκατειλεγμένη εὕρηται τῶν Τρῴων ἐπίκουρος (7). Γύγης δὲ ὕστερον ὁ Λυδῶν τὴν παρακειμένην Ἀσίας τῆς Ἑλάσσονος παραλίαν καταλαβὼν, καὶ Σηστὸν ὡσαύτως κατασχεῖν λέγεται (8). Ἐκ ταύτης δὲ,

(1) Ἔκθ. Νέα Ἀνδρ. βασιλέως.
(2) Παχυμ. VII, 6 καὶ 11. Muntaner Χρονικ. c. 223.
(3) Λαονικ. Χαλκοκ. σελ. 12.
(4) Mela II, 2, 7. Θουκ. Η, 104 1.
(5) Mela II, 2, 7. Plin IV, 18 καὶ 23.
(6) Πτολεμ. III, 12.
(7) Ὁμ. Ἰλ. Β, 835. Ἡρόδ. IX, 115. Θουκ' Στράβ. XIII, 590 καὶ ἑτέροις πλείστοις.
(8) Μουσ. γραμμ' τὰ καθ' Ἡρὼ καὶ Λέανδρον. Ἀγαθ. V, II. «Σηστὸς γέ ἐστι πόλις ἡ περιλάλητος τῇ ποιήσει καὶ ὀνομαστοτάτη.»

(1) Σχολ. Ὁμ. Ἰλ. I, 328.
(2) Ἡρόδ. IX, 115. Θουκ. Α΄, 89, 2. Διοδ. XI, 37.
(3) Θουκ. Η, 62, 2. Καὶ ὁ Δερκυλλίδας παρὰ Ξεν. Ἑλλ. IV, 8, 5, ἔφη «Ποῖον ἰσχυρότερον Σηστοῦ λάβοιτε χωρίον, ποῖον δὲ δυσπολιορκητότερον; ὃ καὶ νεῶν καὶ πεζῶν δεῖται, εἰ μέλλει πολιορκηθήσεσθαι;»
(4) Ξεν. Ἑλλ. IV, 8, 5.
(5) Πολυβ. XVI, 29. XVII, 2. Liv. XXXIII, 38.
(6) Προκοπ. περὶ Ἰουστ. οἰκοδ. IV, 10.
(7) Ἰ. Β, 835. Στράβ. XIII, 590.
(8) Εὐστάθ. εἰς Ἰλ. Β, 836, ἔνθα περὶ Σηστοῦ λέγεται,

ὡς φησιν Ἡρόδοτος, Δαρεῖος μετὰ τὴν ἐπὶ Σκύθας στρατείαν διέβη εἰς Ἀσίαν μεταβαίνων (1). Ὑπὸ δὲ Φοινίκων Πέρσαις γενομένη ὑποτελὴς μετὰ τῶν ἑτέρων τῆς Χερσονήσου πόλεων, Ἀρταΰκτην ὕπαρχον εἶχε Πέρσην· μετὰ δὲ τὴν ἐν Μυκάλῃ μάχην ὑπ' Ἀθηναίοις ἐγένετο, πρῶτον μὲν Ξανθίππου ἡγουμένου, εἶτα δὲ Κίμωνος τὰ τῶν πολεμίων περιλιπόμενα πάμπαν ἐξελάσαντος (2). Καὶ ὑπ' Ἀβυδηνοῖς δὲ, ἧττον πιθανῶς, γενέσθαι λέγεται, παραδόντος Κλέωνος (3). Ἔτει δὲ πρώτῳ καὶ εἰκοστῷ τοῦ μακροῦ πολέμου Ἀθηναίων καὶ Πελοποννησίων, Ἀβύδου ἀποστάσης πρὸς Δερκυλλίδαν καὶ Φαρνάβαζον, ἡ Σηστὸς ὑπὸ Στρομβιχίδου Ἀθηναίων στρατηγοῦ καταληφθῆναι φαίνεται, ὡς ἐν τοῖς πάροιθεν εἴρηται, οἷς περ σφόδρα τι λυσιτελὴς ἐς ὕστερον ἐγένετο (4). Πέρας δὲ σχόντος τοῦ πολέμου, Λακεδαιμονίων ἐγένετο, ἔνθα Δερκυλλίδας ἀσφαλῶς καταφυγὼν παρέμεινε, Φαρναβάζου πολιορκοῦντος καὶ Κόνωνος (5). Μετὰ δὲ τὴν Ἀνταλκίδου εἰρήνην ἐλευθέρα γενομένη, κατελήφθη ὕστερον (367 π. Χ.) ὑπ' Ἀριοβαρζάνου Πέρσου σατράπου (6), οὗ ἐν Ἄσσῳ ὑπ' Αὐτοφραδάτου πολιορκουμένου, Κότυς ὁ Ὀδρυσῶν Θρᾳκῶν βασιλεὺς κατασχεῖν ἐπεχείρησεν, ἀπέστη μέν τοι δεδιὼς Ἀγησίλαον· ὡς δ' αὖτως Μαύσωλος ὁ Καρῶν δυνάστης (7) καὶ Δατάμης ὁ Σινωπεύς (8). Ἀριοβαρζάνης δ' ὕστερον τῆς πολιορκίας λυθείς, Τιμοθέῳ ταύτην δίδωσιν, ἐπικουρίαν παρασχόντι (9)· αὖθις δ' ὑπ' Ἀβυδηνοῖς τελοῦσα, κατελήφθη ὑπὸ Κότυος καὶ τῇ Θρᾳκῶν ἀρχῇ παρέμεινεν (10), ἕως Χάρης ὁ Ἀθηναῖος (353 π. Χ.) ταύτην ἀνεκτήσατο τῇ πόλει (11), ἣ κληρούχους πέμψασα κρατοῦσα διετέλει, καὶ τῶν χειρῶν τοῦ Φιλίππου, χειρώσασθαι πειρωμένου, ἀπήλλαξε (1). Μετὰ δὲ τὴν Λυσιμαχείας οἴκισιν ἡ Σηστὸς φθίνειν ἤρξατο, ὑπὸ δ' ἐχθρῶν (2) οὕτωσὶ καταληφθῆναι λέγεται (295 π. Χ.)· Φιλίππῳ δὲ Γ΄ τῷ Μακεδόνι καὶ Ἀντιόχῳ Μεγάλῳ τῷ Σελευκίδῃ ἑκοῦσα παρέδωκεν ἑαυτὴν, ἀντισχεῖν οὐκ ἔχουσα (3). Ὑπὸ Ῥωμαίοις δὲ γενομένη (192 π. Χ.) οὐ παρανθεῖν δοκεῖ ἐκ τῶν τότε νομισμάτων, οἷς κέρας ἐγκεχάρακται Ἀμαλθείας, ἀφθονίας δῆλα δὴ σημεῖον (4). Ὑπὸ δὲ Λατίνων τρίτῳ καὶ δεκάτῳ αἰῶνι τῷ καθ' ἡμᾶς ἁλοῦσα, ἀνεκτήθη αὖθις ὑπὸ Ἰωάννου Δούκα τοῦ Βατάτζη Νικαίας αὐτοκράτορος (5). Τέλος δὲ ὑπὸ τῶν Τούρκων τοῦ φρουρίου ἁλόντος, τέλεον ἡ πόλις ἠφάνισται (6).

§. 28. *Αἰγὸς δὲ ποταμὸς* ὀγδοήκοντα μὲν πρὸς διακοσίοις Σηστοῦ ἄποθεν πρὸς Ἑλλησπόντῳ ποταμὸς καὶ πολίχνη, πεντεκαίδεκα δὲ Λαμψάκου τῆς ἐν Ἀσίᾳ, ἐπίσημος τὸ μὲν διὰ τὸν αὐτόθι ἐξ οὐρανοῦ λίθον, ὃν Ἀναξαγόρας ἐκ τοῦ ἡλίου πεσεῖν μέλλοντα προειπεῖν λέγεται (7), τὸ δὲ διὰ τὴν αὐτόθι, ἐν τῷ λιμένι, τέλος ἐπιθεῖσαν ναυμαχίαν τῷ δεινῷ πολέμῳ Ἀθηναίων καὶ Πελοποννησίων (8). Νομίσματα ἐπὶ Ἀλεξάνδρου καὶ ταυῦν ταύτης δείκνυται καλῶς πεπονημένα (9). Ὀλίγην μὲν πρότερον λαβοῦσα τὴν ἐπίδοσιν, οἷον δ' ἠφανισμένη ἐπὶ Στράβωνος, πολλῷ μᾶλλον ἤρθη ὕστερον εἰς δύναμιν, ἐν ταῖς ἀρίσταις τῆς Χερσονήσου καταλεγομένη πόλεσιν (10). Ἐπὶ τῆς ἀρχαίας θέσεως ἡ νῦν κώμη Γαλατᾶς εὕρηται.

§. 29. Πρὸς δὲ βορρᾶν ἡ *Καλλίπολις* ἔκειτο, μικρὰ μὲν καὶ ἄσημος τῆς Ἑλλάδος ἀνθούσης,

καὶ Ἀβύδου, τάδε φησί. «Γύγης, βασιλεὺς Λυδῶν, ὥσπερ τὴν Τρῳάδα πᾶσαν οὕτω καὶ τὰ χωρία ταῦτα εἶχεν ὑφ' ἑαυτῷ.»
(1) Ἡρόδ. IV, 143.
(2) Ἡρόδ. VI, 34. VII, 33, 78. IX, 115. Θουκ. Α΄. 89, 2. Διοδ. XI, 37.
(3) Πολυαίν. 1, 3.
(4) Ἔνθ. ἀνωτ. §. 25.
(5) Ἔνθ. ἀνωτ. §. 24.
(6) Δημ. Ἀριστοκρ. σελ. 666. Ἔγκ. Ἀγησ. II, 26. Corn. Nep. Timoth. 1.
(7) Ἔγκ. Ἀγησ. II, 26.
(8) Πολυαίν. VII, 21, 2.
(9) Ἰσοκρ. περὶ ἀντιδ. 112. Corn. Nep. Timoth. I.
(10) Δημ. Ἀριστοκρ. 672.
(11) Διοδ. XVI, 34.

(1) Δημ. περὶ Στεφ. σελ. 265.
(2) Πολυαίν. V, 7, 3.
(3) Liv. XXXVII, 9.
(4) Mionnet I, 430 33. Supplem. II, 537, 85, 87.
(5) Νικηφ. Γρηγ. II, 3, σελ. 16.
(6) Muntaner Chron. c. 209.
(7) Στράβ. VII. Ἐπιτ. 56, Gr. Plin. N. h. II. 58. sect. 59. Τζέτζ. χιλ. II, 894.
(8) Ξεν. Ἑλλ. II, 1, 21 καὶ ἐφ. Διοδ. XIII, 105. Πλουτ. Ἀλκ. 37. Λυσάνδρ. II. Corn. Nep. Alcib. 8 καὶ ἐφ.
(9) Mionnet, I, 425.
(10) Στεφ. Βυζ. ἐν λ. Τζέτζ. Χιλ. II. 894. «Θράκης δὲ τοῦτο πόλις.» Καντακουζ. Ἱστορ. III, 76, σελ. 617. Muntaner δέ φησι περὶ τούτων εἰδὼς (Ghronic. c. 201). «Dans l'interieur sont les cités de Gallipoli, Patemo, Sesto et Medico (Gallipoli, Aegos potami, Sestus, Madytus). Il y a de bon pain, de bon vin et de tous fruits en grande abondance, Chacun de ces endroits est un bon lieu, car dans le moindre de ces lienx il y a beaucoup de maisons et très bonnes.»

ἀκμαία δὲ καὶ πολὺ ἐπιδοῦσα ἐς ὕστερον ἄχρι τοῦ νῦν. Καὶ ὁ μὲν χρόνος τῆς οἰκήσεως, καθάπερ καὶ τοὔνομα ὁπόθεν, οὐ δῆλα, Ἀγαθίου μὲν ἐκ τῆς ὄψεως, Ἰωάννου δὲ τοῦ Κιννάμου ἔκ τινος Ἀθηναίων στρατηγοῦ Καλλίου τὴν προσηγορίαν σχεῖν διατεινομένων (1). Καλῶς κειμένη ἡ Καλλίπολις διά τε τὸ πρᾶον τοῦ Ἑλλησποντιακοῦ ῥεύματος καὶ ἠρεμαῖον, εὐχερέστερον ποιοῦντος τὸν εἰς Λάμψακον διάπλουν, ἀμνημόνευτος ἔμεινε πᾶσι τῶν ἀρχαίων τοῖς γεωγραφήσασι. Πλὴν ἀλλὰ καὶ ταύτην ἐν ἄλλοις κατέλαβε Φίλιππος Γ′, ὁ Μακεδὼν (2), πρῶτος δ᾽ αὐτῆς Ἀλέξανδρος ἐμνημόνευσεν ὁ Πολυΐστωρ ἐν τοῖς Βιθυνικοῖς(3), Στράβων δὲ τὸ ἐφ᾽ ἑαυτοῦ πολίχνην καλεῖ (4). Ὕστερον δ᾽ ἐπὶ Ῥωμαίων διὰ τὸ καὶ αὐτόθεν εἰς Ἀσίαν μεταβαίνειν ἀκμάσαι φαίνεται, πολλῷ δὲ μᾶλλον τῆς ἀρχῆς μετατεθείσης εἰς Βυζάντιον· τότε δὴ οἷον ἔρυμα καὶ προμαχὼν τῆς μητροπόλεως ἐγένετο. Διόπερ Ἰουστινιανὸς ἄλλα τε καὶ ταύτην κατωχύρωσε, σιτοβολῶνας καὶ οἶνου ἀποθήκας κατασκευάσας (5), ὡσαύτως καὶ Οὐένετοι πολλῷ ὕστερον (6). Τούτους ἀφείλετο αὐτὴν Ἰωάννης Δούκας ὁ Βατάτζης μετὰ καὶ τῶν ἄλλων (7), τοῦτον δὲ Καταλάνοι (8), τούτους δὲ τέλος Τοῦρκοι (1357) (9), ἀφ᾽ ἧς, τὰ ἐκπεπονημένα τῶν τειχῶν ἐπισκευάσαντες, ἐπὶ τὴν Κωνσταντίνου ἦεσαν (10).

§. 30. Πρὸς ἄρκτον Καλλιπόλεως ἐπὶ τῇ Προποντίδι ἡ *Κριθωτὴ* ἔκειτο, ὀγδοήκοντα ἀπὸ Καρδίας ἀφεστηκυῖα στάδια, ὑπὸ Μιλτιάδου τοῦ Κυψέλου κτισθεῖσα, εἰ μὴ πρότερον (11). Ἔτει 365 π. Χ. ἀπὸ Ἀριοβαρζάνους σατράπου Τιμόθεος ἐπικουρήσας κατέσχεν ἐκπολιορκήσας ἡ γοῦν δῶρον εἰληφὼς (12). Φθίνειν φαίνεται ὕστερον, ἅτε Στράβωνος οἷον ἀνατετραμμένης μνημονεύοντος καὶ Πλινίου.

§. 31. Ἐντὸς δὲ Χερσονήσου κατὰ τὴν μεσόγαιαν ἡ *Κρῆσσα* ἢ *Κίσσα* ἔκειτο παρὰ τὸν Αἰγὸς ποταμὸν (1), καὶ ἡ *Κριθέα*, ἅπασιν ἀμνημόνευτος μείνασα, πλὴν τοῦ λατινίδι φωνῇ μεθερμηνευκότος Πτολεμαίου (2), πάντως γε ἀληθῶς κρίναντος διὰ τὸ καὶ τανῦν ὁμώνυμον διασώζεσθαι πόλισμα, οὐ μακρὰν Μαδύτου εἰς τὴν μεσόγαιαν ἀφεστηκός (3).

(Ἀκολουθεῖ.)

ΜΑΤΘΑΙΟΣ Κ. ΠΑΡΑΝΙΚΑΣ.

(1) Ἀγαθ. V. c. 2, σελ. 155. Ἰω. Κιννάμ. IV, c. 24, σελ. 117.
(2) Liv XXXI, 16.
(3) Στέρ. ὁ Βυζ. ἐν λ. Καλλίπολις.
(4) XIII, 589.
(5) Προκοπ. περὶ τῶν Ἰουστ. οἰκοδ. IV, 10.
(6) Δανδώλου Χρονικ. παρὰ Murator Rer Italii Script. XII, 1. X, Cap. 4. part, 4.
(7) Γεωργ. Ἀκροπ. 33. Νικηφ. Γρηγ. II, 3.
(8) Νικηφ. Γρηγ. VII, 3, σελ. 136. Παχυμ. Ἀνδρον. Παλαιολ. V, 14 καὶ ἑφ.
(9) Hammer Hist. de l'Emp. Ott.
(10) Δούκ. κεφ. IV.
(11) Ἔφορ. παρ᾽ Ἁρποκρ. ἐν λ. Κριθωτή. Σκύμ. 711. Σουίδ. ἐν λ. Raoul Rochette, Hist. de l'établ. III, livr. IV, chap. I.
(12) Ἰσοκρ. περὶ ἀντιδ. 112. Corn. Nep. Timoth I.

ΠΕΡΙ ΤΙΝΩΝ ΑΝΕΚΔΟΤΩΝ ΕΠΙΓΡΑΦΩΝ ΤΗΣ ΠΕΡΙΝΘΟΥ.

(Ἀνεγνώσθη ἐν τῇ ηΘ′. Συνεδριάσει.)

(Συνέχεια ἴδε Τεῦχος Ε′. — ΣΤ′. σελ. 257 κ. ε.)

Ἐπιγραφὴ Θ′.

Ἐπὶ μαρμαρίνης τινὸς πλακὸς ἔν τινι ἀγρῷ τῆς Ἡρακλείας εὑρεθεῖσα καὶ ἀντιγραφεῖσα κατὰ τὸ 1860 ὑπὸ τοῦ φιλαρχαίου διδασκάλου Κ. Γ. Λαγκαδᾶ.

(Ὅρα Πίνακα ἐν τέλει ἀρ. 1.)

Ἄσκλος.

.. Πισαν[ός.

Ἄσκλος (1) καὶ Ἀσκλίτης (2), **Asculanus** (3) καὶ **Asculinus** (4) ὀνομάζεται ὁ κάτοικος Ἄσκλου τοῦ Πικηνοῦ (5), νῦν **Ascoli**, πρωτευούσης τῆς Πικεντίνης, ἐπαρχίας Ἰταλικῆς. **Pisanus** (6) δὲ, ὅπως ἐν τῇ παρούσῃ ἐπιγραφῇ, Πισάτης (7) καὶ Πισεύς, ὁ κάτοικος τῆς ἐν Τυρρηνίᾳ πόλεως Πίσης. Εἰκάζομεν ὅθεν, ὅτι ἡ πλὰξ αὕτη, ἣν ἀνάγομεν εἰς τὸν Α′. Μ. Χ. αἰῶνα, περιεῖχε κατάλογον στρατιωτῶν Ῥωμαίων μετὰ τῶν ἐπιθέτων καὶ τῆς πατρίδος ἑνὸς ἑκάστου.

(1) Σκύλ. 68. Plin. N. h. II. 18.
(2) Πτολεμ. III, 12.
(3) Olivier, Voyage de l'Emp. Ott. p. 237 d' Anville Descript. de l'Hellespont, p. 238.
(1) Στεφάνου Βυζαντίου ἐν λ.
(2) Αὐτ.
(3) Ciceronis pro Sulla, κεφ. ή. — Gruter. Inscript. σελ. 465, ἀρ. 10.
(4) Frontini. de Coloniis.
(5) Στράβ. Ε′. 241.
(6) Livii M′. 43.
(7) Στράβ. Ε′, 225.

Ἐπιγραφὴ Γ′.

Ἀντεγράφη ὑπὸ τοῦ αὐτοῦ Κ. Γ. Λαγκαδᾶ τῷ 1860 ἐκ μαρμαρίνου τετραγώνου μνημείου, σωζομένου τότε ἐπὶ τῆς ἀκροπόλεως τῆς Ἡρακλείας πρὸς Νότον τῆς Χερσοννήσου κατὰ τοὺς ἀνεμομύλους.

(Ὅρα Πίν. ἀρ. 2.)

Imp(eratori). T(ito). Caesari. Aug(usti). [filio
Pont(ifici). Max(imo). Trib(unitiae). Pot(estatis). VI.
Imp(eratori). X. Co[n]s(uli). VII. Censori.
Ti(berius). Claudius. Theopom
pi. F(ilius). Qu[i]r(inus). Sabinus. ex. Test(amento).
Ti(berii). Claudi[i]. Theopompi. Patri[s.

Ἤτοι:

Αὐτοκράτορι Τίτῳ, Καίσαρι, Αὐγούστου υἱῷ,
ἄκρῳ ἀρχιερεῖ, δημαρχικῆς ἐξουσίας τὸ ἕκτον,
αὐτοκράτορι τὸ δέκατον, ὑπάτῳ τὸ ἕβδομον, τιμητῇ.
Τιβέριος Κλαύδιος Θεοπόμ
που υἱὸς, Κυρίνιος, Σαβῖνος, κατὰ τὴν διαθήκην
Τιβερίου Κλαυδίου Θεοπόμπου τοῦ πατρὸς αὐτοῦ.

Ὡς γνωστὸν οἱ αὐτοκράτορες τῆς Ῥώμης, μὴ τολμήσαντες νὰ καταργήσωσι τὰς γεραρὰς τῆς δημοκρατίας ἀρχὰς, ἐπιθυμοῦντες ὅμως νὰ οὐδετερώσωσιν αὐτὰς, συνεκέντρωσαν ἐν ἑαυτοῖς τὰς κυριωτέρας αὐτῶν, ἐξησθένισαν δὲ τὴν τῶν λοιπῶν δύναμιν. Ὅθεν ἀπένειμον εἰς ἑαυτοὺς τὸν τίτλον τοῦ μεγίστου ποντίφηκος (**pontifex maximus**), τὸν τοῦ δημάρχου (**tribunus**), μετασχηματίσαντες αὐτὸν διὰ τὸ ἀσφαλέστερον εἰς τὴν περίφρασιν δημαρχικῆς ἐξουσίας (**tribunitiae potestate functus**), ἔτι δὲ ὠνομάζοντο ἀρχιστράτηγοι (**imperator**), ὕπατοι (**consul**) καὶ τιμηταὶ (**censor**), ἤτοι ἐξελεγκταὶ τῆς περιουσίας καὶ τῶν ἠθῶν τῶν ὑπηκόων. Μετὰ τοὺς βαθμοὺς τούτους ἔπονται ἐπὶ τῶν ἐπιγραφῶν καὶ τῶν νομισμάτων ἀριθμοί, οὓς ὑπολογίζοντες κατὰ κανόνας ὡρισμένους ἔχομεν τὴν ὅσον ἔνεστιν ἀκριβῆ χρονολογίαν τῶν ἀρχαίων μνημείων. Οἱ μὲν π. χ. ἐνιαύσιοι ὕπατοι (**consules ordinarii**) ἐξελέγοντο τὴν ά. Ἰανουαρίου ἑκάστου ἔτους, καὶ διεσώθη ὅλη σχεδὸν ἡ μέχρι τοῦ 354 Μ. Χ. σειρὰ αὐτῶν εἰς τὰ ὑπατικὰ ἡμερολόγια (**fasti capitolini** καὶ **fasti consulares**), ἅπερ ὁ **Rossi** ἀνεπλήρωσε καὶ χρονολογικῶς διεφώτισε, καὶ ὅπου βλέπομεν πότε ἕκαστος τῶν ὑπάτων ἢ τῶν ὑπατευόντων αὐτοκρατόρων ἦρχε τὸ ά. τὸ β′. τὸ γ′. κτλ. Ὁ δὲ συνοδεύων ἀριθμὸς τὸν τίτλον τοῦ **imperator** δηλοῖ τὰς ἐκστρατείας ἢ τὰς νίκας (1) τοῦ αὐτοκράτορος, οὐδαμῶς δὲ τὰ ἔτη τῆς βασιλείας αὐτοῦ. Ταῦτα δὲ τὰ ἔτη ἐμφαίνονται ἐν τῷ ἀριθμῷ τῆς δημαρχικῆς ἐξουσίας, ἥτις ἀκριβῶς κατὰ πᾶν ἔτος ἀνενεοῦτο, ἀπὸ μὲν Αὐγούστου Καίσαρος μέχρις Ἀντωνίου τοῦ Εὐσεβοῦς (30 Π. Χ. —161 Μ. Χ.), καθ᾽ ἣν ἡμέραν τὸ πρῶτον ἐχορηγήθη, ἀπὸ δὲ Μάρκου Αὐρηλίου μέχρι Γαλλιηνοῦ (161—260 Μ. Χ.), κατὰ πᾶσαν νουμηνίαν ἤτοι ά. Ἰανουαρίου (2). Ἐπομένως γνωστοῦ ὄντος, μέχρι μὲν Ἀντωνίου τοῦ Εὐσεβοῦς, κατὰ ποῖον ἔτος κατ᾽ ἀρχὰς ἔλαβε τὴν δημαρχικὴν ἐξουσίαν ὁ ἐπὶ τοῦ μνημείου ἀναφερόμενος αὐτοκράτωρ, ἀπὸ δὲ Μάρκου Αὐρηλίου καὶ ἑφεξῆς,

(1) Eckhel. Doctrina Numorum Veterum. Τόμ. Η′. σελ. 345.
(2) Αὐτ. σελ. 398.

κατὰ ποῖον ἔτος ἀνέβη εἰς τὸν θρόνον, καὶ προστιθεμένου εἰς τὸ ἔτος τοῦτο τοῦ τῆς δημαρχικῆς ἐξουσίας ἀριθμοῦ, ἐξάγεται ἡ ἀκριβὴς τοῦ μνημείου χρονολογία.

Ἐφαρμόζοντες τὰ εἰρημένα εἰς τὴν προκειμένην ἐπιγραφὴν, καὶ γνωρίζοντες, ὅτι ὁ αὐτοκράτωρ Τίτος περιεβλήθη κατὰ πρῶτον τὴν δημαρχικὴν ἐξουσίαν τὴν ά. Ἰουλίου 71 Μ. Χ. (1), εὑρίσκομεν, ὅτι τὸ ἕκτον τῆς δημαρχικῆς αὐτοῦ ἐξουσίας ἄρχεται ἀπὸ ά. Ἰουλίου 76 καὶ λήγει τῇ ά. Ἰουλίου 77 Μ. Χ. Ἐπειδὴ ὅμως ἀφ' ἑτέρου ὕπατος τὸ ζ'. ἐγένετο ὁ Τίτος τὴν ά. Ἰανουαρίου τοῦ 77 (2), ἔπεται ὅτι ἐντὸς τοῦ πρώτου ἑξαμήνου τοῦ 77 ἔτους Μ. Χ. ἀνηγέρθη τὸ ἡμέτερον μνημεῖον.

Εἶναι δὲ ἀνάθημα πρὸς τὸν αὐτοκράτορα Τίτον ἐξ ἐντολῆς Τιβερίου τινὸς Κλαυδίου Θεοπόμπου, ὅστις ἦτο φαίνεται πολίτης Ῥωμαῖος (**civis Romanus**)· διότι ἡ ἐπιγραφὴ λέγει κατὰ τὴν διαθήκην (**ex testamento**), ἐκέκτητο δὲ τὸ δικαίωμα τοῦ διατιθέναι τὰ ἑαυτῶν, συνεπάγον νομικὰ ἀποτελέσματα (**factio testamenti**), μόνον οἱ χαίροντες τὰ τοῦ πολίτου δικαιώματα ἢ ἅπαντα (**commercium, connubium, suffragium**), ἢ τοὐλάχιστον τὸ **commercium**.

Εἰς δὲ τὴν θέσιν τῶν ὀνομάτων ἐτηρεῖτο συνήθως παρὰ Ῥωμαίοις ἡ ἑξῆς τάξις (3)· πρῶτον ἐτίθετο τὸ προσηγορικὸν ὄνομα, **praenomen** (ἐνταῦθα Τιβέριος), δεύτερον τὸ τῆς οἰκογενείας, **nomen gentilicium** (Κλαύδιος), τρίτον τὸ τοῦ πατρὸς (Θεοπόμπου), τέταρτον τὸ τῆς φυλῆς, **tribus** (Κυρίνιος), πέμπτον τὸ ἐπώνυμον, **cognomen** (ἐνταῦθα λείπει), καὶ ἕκτον τὸ τῆς πατρίδος ὄνομα (Σαβῖνος).

—

Ἐπιγραφὴ ΙΑ

Εὑρεθεῖσα τῷ 1860 ἔν τινι ἀγρῷ παρὰ τὴν ἀρχαίαν τῆς Ἡρακλείας Μητρόπολιν ἐπὶ μαρμαρίνου τμήματος τεθλασμένου, μοὶ ἐκοινοποιήθη ὑπὸ τοῦ αὐτοῦ Κ. Γ. Λαγκαδᾶ.

(Ὅρα Πίν. ἀρ. 3.)

. . νια Φλαβιαν[οῦ

Σαδάλης ὁ Β'. βασιλεὺς τῆς Θράκης ἀποθνήσκων ἄπαις κατὰ τὸ 43 Π. Χ. κατέλιπε τὴν χώραν αὐτοῦ εἰς τοὺς Ῥωμαίους (1). Ἀλλ' ἐπειδὴ οἱ Βησσοὶ, φυλὴ θρᾳκικὴ, ἐκώλυον τὴν ὑπὸ τῶν Ῥωμαίων κατοχὴν τοῦ κληροδοτήματος τούτου, στρατεύσας ὁ Μάρκος Ἰούνιος Βροῦτος τοὺς μὲν Βησσοὺς ἐτιμώρησε, τὰς δὲ τοῦ Σαδάλου χώρας κατέλαβε (2) τῷ 42 Π. Χ. Ἐβοήθησε δὲ τὸν Βροῦτον ἥ τε Πολεμοκρατία, χήρα βασιλέως τῆς Θράκης, χορηγήσασα αὐτῷ χρήματα (3), καὶ ὁ Ῥησκούπορις ἢ Ῥασκύπορις, ἀδελφὸς τοῦ Ῥαίσκου, καὶ ἡγεμὼν τῶν Σαπαίων καὶ τῶν Τορπιδῶν, δραμὼν μετὰ τῶν Θρᾳκῶν πρὸς ὑπεράσπισιν αὐτοῦ (4). Πρὸς μνημόσυνον δὲ τῶν κατὰ τῶν Βησσῶν νικῶν τοῦ Βρούτου, ὁ ἀντιστράτηγος αὐτοῦ Γάϊος Φλάβιος Ἡμικίλλος ἐχάραξε νομίσματα, ἐφ' ὧν διεσώθη (5) καὶ τὸ ἴδιον αὐτοῦ ὄνομα (**FLAV**). Δὲν δυνάμεθα ἆρά γε κατ' ἀναλογίαν νὰ συμπεράνωμεν, ὅτι καὶ ἐν Περίνθῳ, διασήμῳ τότε πόλει, ἠγέρθη πρὸς τιμὴν τοῦ Βρούτου, ἐπισκεφθέντος ἴσως αὐτὴν, μνημεῖον προνοίᾳ τοῦ αὐτοῦ Φλαβίου, οὗτινος τὸ ὄνομα, ὅπως ἐπὶ τῶν νομισμάτων, οὕτω καὶ ἐπὶ τοῦ ἡμετέρου μαρμάρου διεσώθη;

—

Ἐπιγραφὴ ΙΒ'.

Ἐπὶ μαρμαρίνου βάθρου κεχαραγμένη καὶ ἀντιγραφεῖσα ὡσαύτως ὑπὸ τοῦ Κ. Γ. Λαγκαδᾶ κατὰ τὸ 1860 ἔτος.

(Ὅρα Πίν. ἀρ. 4.)

Adventu]s Imp(eratoris). Ca[e]s(aris). [M.] Au[relii Seve]ri . .

Ἤτοι:

Ἔλευσις τοῦ αὐτοκράτορος Καίσαρος Μάρκου Αὐρηλίου Σεβήρου...

(1) Αὐτ. σελ. 440.
(2) Fasti Consulares.
(3) Gruter. Inscript. 506, 507. — Orelli. Inscript. Latinae, Τόμ. Α'. σελ. 472.

(1) Visconti. Iconographie Grecque. Τόμ. Β'. σελ. 110.
(2) Δίωνος Κασσίου. ΜΖ'. 25.
(3) Ἀππιανοῦ. Ἐμφυλίων Δ'. 75.
(4) Δίωνος Κασσίου. ΜΖ'. 25.—Cary. Hist. des rois de Thrace. σ. 61.
(5) Αὐτ. σ. 60. —G. Riccio. Monete Consolari delle famiglie di Roma. Napoli, 1843. ἔκδ. β'. 4ον. σελ. 91. κεφ. 70. καὶ σελ. 120. ἀρ. 30.

Ὅτε κατὰ τὸ 214 Μ. Χ. ὁ Ἀντωνῖνος (Καρακάλλας) κατῆλθεν ἀπὸ τοῦ Δουνάβεως εἰς Θράκην (1), ὅπως διαπλεύσας τὸν Ἑλλήσποντον μεταβῇ εἰς τὴν Ἀσίαν, ἡ Πέρινθος, ἡ τοσοῦτον ὑπὸ τῆς οἰκογενείας Σεβήρου εὐεργετηθεῖσα, ἀνήγειρεν ἴσως τὸ μνημεῖον τοῦτο, πρὸς ἐνθύμησιν τῆς ἐλεύσεως (**Adventus**) ἢ ἐν Θράκῃ ἢ καὶ ἐν αὐτῇ τυχὸν τῇ Περίνθῳ τοῦ αὐτοκράτορος Ἀντωνίνου.

Στῆλαι	***Tituli***
ἐνθάδε	***heic***
τυποῦνται καὶ	***ordinantur et***
χαράσσονται	***sculpuntur***
ναοῖς ἱεροῖς	***aedibus sacreis***
σὺν ἐνεργείαις	***cum operum***
δημοσίαις.	***publicorum.***

—

Ἐπιγραφὴ ΙΓ'.

Ἐλήφθη ὑπὸ τοῦ γράφοντος κατὰ τὸ 1864 τὸ ἐκτύπωμα τῆς ἐπιγραφῆς ταύτης, ἥτις ἀναγινώσκεται ἐπὶ μαρμαρίνης πλακὸς, κειμένης μὲν ἐν Ἡρακλείᾳ παρὰ τὴν ἀρχαίαν Μητρόπολιν, ἐχούσης δὲ μῆκος 0, 70 καὶ πλάτος 0, 30.

(Ὅρα Πίν. ἀρ. 5.)

Ti(berius). Claudius. Silvanus
vixit an(nos) XXVI[I] d(ies) IIII.

Τι(βερίῳ). Κλαυδίῳ Σιλβανῷ
ὅστις ἔζησεν ἔτη κζ. ἡ(μέρας) δ.

Ἐπιτύμβιον τοῦ Β'. αἰῶνος Μ. Χ. Τιβερίου τινὸς Κλαυδίου, διακρινομένου ἀπὸ τοῦ ἐν τῇ Γ'. ἐπιγραφῇ ὁμωνύμου αὐτοῦ διὰ τοῦ ἐπωνύμου (**cognomen**) Σιλβανός. Συνηθέστατα ἀπαντᾶται τὸ ὄνομα Τιβέριος Κλαύδιος εἰς τὰς ἐπιτυμβίους ἐπιγραφάς. Ἄξιον δὲ παρατηρήσεως τὸ δίγλωσσον τῆς παρούσης, ἐμφαῖνον τὴν κοινὴν τότε χρῆσιν τῆς τε ἑλληνικῆς καὶ τῆς λατινικῆς γλώσσης ἐν ταῖς ῥωμαϊκαῖς κτήσεσι. Τοιαῦται δὲ δίγλωσσοι ἐπιγραφαὶ εὑρίσκονται ἐν ταῖς ἀρχαιολογικαῖς συγγραφαῖς, καὶ ἐπιτραπήτω ἡμῖν ν' ἀναφέρωμεν τὰς ἑξῆς·

A(ulus) Cossinius Philocratis
Puteolanus [Vale.

Ὦλος Κοσσίνιος Φιλοκράτης
Ποτιολανὸς χαῖρε(2).

Ἰδοὺ καὶ διεύθυνσίς τις (**enseigne**) λιθογράφου τινὸς ἐν Πανόρμῳ εὑρεθεῖσα(3)·

(1) Ἡρωδιανοῦ. Δ'. ἡ. 1.
(2) Reinesii. Inscript. ΙΔ'. 14.
(3) Orelli. αὐτ. 4222.

Ὡραιοτέρα ἐστὶν αὕτη(1)·

Ἦλθες ἐμῆς ζωῆς γλυκερώτερε, ὃς μ' ἀπέλυσας
Νούσων καὶ καμάτων καὶ μογερᾶς ποδάγρας.
Αὐρ(ήλιος) Ἀμφικτύων
Ἄγων ἔτος Ο'.

Venisti tandem vita mihi dulcior et me
Solvisti morbis tristibus et podagra.
Aur(elius) Amphictyo
Annum agens LXX.

Ὁ ἑβδομηκοντούτης Ἀμφικτύων εὐχαριστεῖ τὸν θάνατον, τὸν λυτρώσαντα αὐτὸν τῆς κατατρυχούσης αὐτὸν ποδάγρας καὶ τῶν λοιπῶν δυσαρέστων ὀπαδῶν τοῦ γήρατος.

Ἐνίοτε δὲ τὸ μὲν τῆς αὐτῆς ἐπιγραφῆς ἐστὶ λατινικὸν, τὸ δὲ ἑλληνικὸν, ὡς ἐν τῇ ἑπομένῃ(2)·

D(iis). M(anibus).
Parentes Anerio Aphrodisio.
Filio Dulcissimo.
V(ixit) an(num). I. m(ensem). I. d(ies). VII.
Ἀφροδίσιε χαῖρε.
Καὶ σύ.

Ἤτοι:

Θεοῖς Καταχθονίοις.
Οἱ γονεῖς Ἀνερίῳ Ἀφροδισίῳ,
Υἱῷ γλυκυτάτῳ,
Ὅστις ἔζησεν ἔτος 1, μῆνα 1, ἡμέρας 7.
Ἀφροδίσιε χαῖρε
Καὶ σύ.

Ἡ ἀπὸ τοῦ κρυεροῦ τάφου ἀπάντησις τοῦ Ἀφροδισίου « Καὶ σύ » πρὸς τὴν εὐχὴν τῶν γονέων του « Ἀφροδίσιε χαῖρε » εἶναι ἔκφρασις λίαν ἐπιτυχὴς, τὴν ἀθωότητα τοῦ βρέφους ἀ-

(1) Reinesii. αὐτ. ΙΖ'. 24.
(2) Orelli. αὐτ. 4869.

πεικονίζουσα καὶ παραμυθίαν ἐνσταλάζουσα εἰς τὰς καρδίας τῶν γονέων.

Πρὶν ἢ κλείσωμεν τὴν παρέκβασιν ταύτην, εἴπωμεν, ὅτι ἐν τοῖς ἐπιτυμβίοις τῶν Ῥωμαίων ἀπαντῶνται πολλάκις ἑλληνικοῖς ἢ λατινικοῖς γράμμασι γεγραμμέναι προσφωνήσεις(1), οἷον, » εὐδρόμει, εὐθύμει, εὐμοίρει, εὔπλου, εὐστά- » θει κλπ.

Τοιαύτη ἐστὶν ἡ ἀκόλουθος·

Acubius Saloninus
evfroni, ὑγίαινε.

Ἤτοι:

« Ἀκούβιος Σαλονῖνος. Εὐφρόνει, ὑγίαινε. »

—

Ἐπιγραφὴ ΙΔ'.

Ἀντεγράφη ἐν Ἡρακλείᾳ κατὰ τὸ 1860 ὑπὸ τοῦ προμνημονευθέντος Κ. Γ. Λαγκαδᾶ.

(Ὅρα Πίν. ἀρ. 6.)

Αὐρηλία[ς] Ἀνάσ[σ]ης
Καὶ Νουν[ε]χίου [τ]ο[ῦ συζ]ύγου [αὐτῆς.

Ἐκ τοῦ σχήματος τῶν γραμμάτων κρίνων τις δύναται ν' ἀναγάγῃ τὸ ἐπιτύμβιον τοῦτο εἰς τὸν Β'. αἰῶνα Μ. Χ.

—

Ἐπιγραφὴ ΙΕ'.

Σώζεται ἐπὶ μαρμαρίνου βάθρου κεχωσμένου μεταξὺ τῶν θεμελίων τοῦ περιτειχίζοντος τείχους τὸ προαύλιον τῆς ἐν Ἡρακλείᾳ παλαιᾶς Μητροπόλεως. Ἀντεγράφη δὲ ὑπὸ τοῦ γράφοντος κατὰ Σεπτέμβριον τοῦ 1852.

(Ὅρα Πίν. ἀρ. 7.)

Imp(eratori) Caes(ari)
T(ito) Aelio Hadriano
A]ntonin[o A]ug(usto). N(ostro Domino.

Ἤτοι:

Αὐτοκράτορι Καίσαρι
Τίτῳ Αἰλίῳ Ἀδριανῷ
Ἀντωνίνῳ Αὐγούστῳ, ἡμετέρῳ δεσπότῃ.

Ὁ Αὐτοκράτωρ Ἀντωνῖνος ὁ Εὐσεβὴς, εἰς ὃν ἀνήκει ἡ ἐπιγραφὴ αὕτη, τοσαύτας ὠφελίμους μεταῤῥυθμίσεις εἰς τὴν ῥωμαϊκὴν νομοθεσίαν ἐπήνεγκε(1), καὶ τόσα μεγάλα ἔργα κατὰ τὰς ἐπαρχίας εἰς πέρας ἤγαγεν(2), ὥστε ἡμιλλῶντο πρὸς ἀλλήλας αἱ πόλεις, τίς λαμπρότερον νὰ τῷ ἀναστήσῃ μνημεῖον. Καὶ ἡ Πέρινθος βεβαίως δὲν ὑπελείπετο τῶν ἄλλων· ἀλλ' ἔστησε φαίνεται ἐπὶ τοῦ ἐν λόγῳ βάθρου τὴν μέχρι τοῦδε ἄνευ κεφαλῆς σωζομένην εἰς τὰ πρόθυρα τῆς ἀρχαίας Μητροπόλεως κολοσσαίαν προτομὴν, ὡς δύνατταί τις νὰ εἰκάσῃ ἐκ τοῦ ἰσοπαχοῦς μεγέθους καὶ τῆς γειτνιάσεως τῶν δύω τμημάτων τοῦ μνημείου. Ἡ προτομὴ λοιπὸν αὕτη εἶναι καθ' ἡμᾶς τοῦ αὐτοκράτορος Ἀντωνίνου τοῦ Εὐσεβοῦς.

—

Ἐπιγραφὴ ΙΣ'.

Ἐκτύπωμα τῆς ἐπιγραφῆς ταύτης ἐλήφθη ὑπὸ τοῦ γράφοντος κατὰ τὸ 1864. Κεῖται δὲ ἡ ἐφ' ἧς πλάξ, ἔχουσα μῆκος 0,30 καὶ πλάτος 0,40 ἐν τῷ κατὰ τὴν Ἡράκλειαν μαγαζείῳ τοῦ Σταυρῆ Τσορμπατζῆ.

(Ὅρα Πίν. ἀρ. 8.)

Τ(ίτος) Φλαούϊος[.
Ἀ[ρισταίνετος
Φλαούϊος[.] Ἀπο[λ
λ]ώνιος Ἀπ[ολ
λω]νίου[.] Διόδο
τ]ος Παπίου.

Τὸ ὄνομα Ἀρισταίνετος(3) ἀπαντᾶται ἐπὶ νομίσματος ἐκδοθέντος ἐν Βυζαντίῳ ἐπὶ τοῦ αὐτοκράτορος Ἀντωνίνου (τοῦ Καρακάλλα), καὶ εἰς τὴν ἐποχὴν ταύτην ἀποδοτέα ἴσως ἡ προκειμένη ἐπιγραφή.

—

Ἐπιγραφὴ ΙΖ'.

Ἐσώζετο ἡ μαρμαρίνη πλάξ, ἐξ ἧς τῷ 1852

(1) Hagenbuch. Excursus de acclamationibus sepulcralibus Graecis in saxis Latinis. — Orelli. αὐτ. 4860—4871.

(1) C. C. F. Wenck. Divus Pius. Lipsiae, 1804. 4.
(2) Παυσανίου. Η'. 43.
(3) Mionnet. Médailles ant. Grecques et Romaines. Τόμ. Α'. σ. 379, ἀρ. 111.

ἐξετυπώθη ὑπὸ τοῦ γράφοντος ἡ ἐπιγραφὴ αὕτη, ἐν τῇ κατὰ τὴν Ἡράκλειαν οἰκίᾳ τοῦ Μπερμπὲρ Κωνσταντῆ Τσορμπατζῆ. Ἄνωθεν δὲ τῆς ἐπιγραφῆς ἐν ἀναγλύφῳ κακῶς ἐξειργασμένῳ παρίσατο ὁ στρατιώτης Ἀπρίλιος Ἰέκτερος.

(Ὅρα Πίν. ἀρ. 9).

Di(is). Ma(nibus).
Aprilis Spictatus. Mi(les) Nu(meri) Mele
anese. mirifecit fratri Aprilio
Iectero. mi(liti) Nu(meri) Divite[n]sium. vixit a[n
nis XXII. Militavit a[n]nis V. Defunc[tus.

Ἤτοι:

Θεοῖς Καταχθονίοις.

Ἀπρίλιος Σπικτάτος, στρατιώτης τοῦ ἀριθμοῦ τῶν Μεδιολάνων ἀνήγειρε τῷ ἀδελφῷ Ἀπριλίῳ
Ἰεκτέρῳ, στρατιώτῃ τοῦ ἀριθμοῦ τῶν Διβιτίων [ὅσις] ἔζησεν ἔτη κβ'. καὶ ἐστράτευσεν ἔτη ἑ. [καὶ] ἀπέθανεν.

Ἐπιτύμβιον τοῦ Α'. αἰῶνος Μ. Χ. φέρον ἐπὶ κεφαλῆς τὴν ἐπίκλησιν τῶν καταχθονίων θεῶν (D. M.) ἀναγινωσκομένην ἐπὶ τῶν πλείστων ἐπιτυμβίων. Τὰ ὀνόματα τῶν δύω ἀδελφῶν **Spictatus** (ἴσως **Spectatus**) καὶ **Ἰέκτερος** φαίνονται ξενικά. Ὁ *ἀριθμὸς* (**numerus**), ὁτὲ μὲν ἐκλαμβάνεται γενικῶς ἀντὶ οἱουδήποτε μέρους στρατοῦ(1), ὁτὲ δὲ μερικῶς ἀντὶ σπείρας (**cohors**), ἐνίοτε δ' ἐμφαίνει ἁπλῶς τὴν ἐγγραφήν· οὕτως ἴσως ἐνταῦθα δύναται νὰ ἑρμηνευθῇ « στρατιώτης ἐγγραφεὶς ἐν Μεδιολάνοις, ἐν Διβιτίᾳ. »

Περὶ δὲ τῆς ἐτυμολογίας τοῦ **Divitenses**, ἡ **Divitienses**(2) (ἐνταῦθα δὲ **Diviteses**) ἄλλοι ἄλλως εἶπον. Καὶ ὁ μὲν **Böcking** (3) παράγει τὸ ὄνομα **Divitenses** ἐκ τοῦ **dives, divitis**, *π.λουσίας*, ἐπιθέτου δοθέντος ἴσως ποτὲ εἴς τινα λεγεῶνα. Ὁ δὲ **Orelli**(4) ἀντιτάσσει πρὸς ταῦτα, ὅτι οὐδαμοῦ ἀναφέρεται **legio *dives***, ἀλλὰ πάντοτε **Divitenses Dalmatae**(5), **Divitenses Gallicani**(6), **Divitenses Antoniani**(7), **Divitenses Seniores**(8). Ἐπομένως προσεγγίζει μᾶλλον πρὸς τὴν ἀλήθειαν ὁ **Panciroli**(1), παράγων τὸ ὄνομα **Divitenses** ἐκ πολιχνίου τινὸς σικελικοῦ **Deveto**, καὶ ἔτι μᾶλλον ἀσπαστέα ἡ γνώμη (2) τῶν ζητούντων τὴν ἀρχὴν τοῦ ὀνόματος εἰς τὴν ὀχυρὰν πόλιν **Divitia** (3) ἢ **Duizia**, νῦν **Deutz**, ἀντικρὺ τῆς Κολωνίας (**Colonia Agrippina**).

Ὑπὸ τὴν γλωσσικὴν ἔποψιν ἐξεταζομένη ἡ ἐπιγραφὴ αὕτη περιέχει οὐκ ὀλίγα περίεργα, οἷον τὸ **Numeri *Meleanese*** ἀντὶ **Mediolanensis**, κατά τινα φαίνεται διάλεκτον, ἐξ ἧς ἴσως παρήχθη τὸ ἰταλικὸν ***Milanese***· ἐπίσης τὸ ῥῆμα **mirificio, *mirifecit***, ἄγνωστον εἰς τοὺς συγγραφεῖς ἀντὶ ***mirificum*** **monumentum fecit** (θαυμαστὸν μνημεῖον ἀνήγειρεν) ἡ ἀφαιρετικὴ ***annis*** ἀντὶ τῆς αἰτιατικῆς **annos** καὶ τὸ σχῆμα τῶν γραμμάτων τοῦ Λ=A ἢ D, τοῦ ⊀=L, καὶ τοῦ Κ=F.

(1) Dig. ΜΘ'. 16, De re militari. — Cod. ΙΒ'. 36. — Böcking. Notitia Dignit. Orient. σ. 198. καὶ Occid. σ. 275.
(2) Orelli. αὐτ. 6730. — Böcking. Notit. Or. σ. 220.
(3) Αὐτ. σ. 218.
(4) Orelli. 6730.
(5) Αὐτ.. 3410.
(6) Böcking. αὐτ. σ. 219.
(7) Orelli. 6730.
(8) Böcking. αὐτ. σ. 218.

—

Ἐπιγραφὴ ΙΗ'.

Μετεκομίσθη κατὰ τὸ 1853 ἐξ Ἡρακλείας παρὰ τῷ γράφοντι ἡ μαρμαρίνη τετράπλευρος

(1) Notitia Dignitatum. Commentarii κεφ. 154, 155.
(2) Roulez. Sur la position des Divitenses, peuple etc. Ὅρα Bulletins de l' Académie Royale de Bruxelles. Τόμ. ς'.
(3) Amm. Marcell. Κς'. 7.—ΚΖ'. 1.

πλάξ, ἔχουσα ὕψος μὲν 1, 04, πλάτος δὲ 0, 65, καὶ ἐφ' ἧς ἐν ἀναγλύφῳ παρίσταται ὁ Αὐρήλιος Μαρκέλλος, ἀγένειος, ἀμύστακος καὶ τὴν κόμην περίκουρος (**tonsus**), φέρων ἐπὶ μὲν τοῦ σώματος χιτωνίσκον (**tunica**) ἀχειρίδωτον, συνεσφιγμένον διὰ ζώνης (**cinctorium**), ἐξ ἧς κρέμαται πρὸς τὴν ἀριστερὰν πλευρὰν ξίφος ἐπίμηκες δίσομον (**gladius**) ἐντὸς κολεοῦ (**vagina**), ἐπὶ δὲ τοῦ χιτωνίσκου ἐφαπτίδα (**sagum**) διὰ περόνης (**fibula**) ἐκ τοῦ δεξιοῦ ὤμου ἐξηρτημένην καὶ πρὸς τὰ ὄπισθεν ἐρριμμένην, οὕτως ὥστε ἡ μὲν δεξιὰ χεὶρ γυμνὴ μένουσα κρατεῖ ἀνδρόμηκες ἔγχος (**hasta**), ἐμπηγμένον εἰς τὴν γῆν, ἡ δὲ λαιὰ μεγάλην ἀσπίδα ὠοειδῆ (**pelta**), ὀμφαλὸν (**umbo**) ἐν τῷ κέντρῳ ἔχουσαν. Κάτωθεν δὲ τοῦ ἀναγλύφου τούτου, ἀναγινώσκεται ἡ ἑξῆς ἐπιγραφή·

(Ὅρα Πίν. ἀρ. 10.)

D(iis). M(anibus).
Aur(elius). Marcellus. Mil(es). Leg(ionis). I.
Adiutri(cis). Coh(ortis). VI. St(ipendii). V. Ann(os).
XXX. militavit. ann(o). VI. Ael(ius).
Iustinus. et Aur(elius). Taurus. et
Sep(timius). Sabinianus. heredes. pos
uerunt. bene merenti. M(onumentum). ex[voto.

Ἤτοι:

Αὐρήλιος Μαρκέλλος, στρατιώτης στρατοπέδου Α'.
Ἐπικουρικοῦ. σπείρας ς'. ἐκστρατείας Ε'. Ἔτη
Α'. ἐστράτευσε. Τῷ ς'. ἔτει Αἴλιος
Ἰουστῖνος καὶ Αὐρήλιος Ταῦρος καὶ
Σεπτίμιος Σαβινιανὸς οἱ κληρονόμοι ἀνὴ
γειραν τῷ καλῶς πολιτευσαμένῳ τὸ μνημεῖον. Ἱερόν.

Ἡ ἐπιγραφὴ αὕτη εἶναι πιθανῶς τοῦ Β'. Μ. Χ. αἰῶνος χαραχθεῖσα ἓξ ἔτη μετὰ θάνατον τοῦ Αὐρηλίου Μαρκέλλου, εἰς πέντε μὲν πολέμους ἢ ἐκστρατείας παρευρεθέντος, ἐπὶ τριάκοντα δὲ ἔτη τὸν στρατιωτικὸν βιώσαντος βίον.

Εἶναι γνωστὸν, ὅτι συνήθως ὁ ὑπατικὸς στρατὸς διῃρεῖτο (1) εἰς δύω λεγεῶνας ἢ στρατόπεδα (2), ἑκάστη δὲ τούτων εἰς δέκα **cohortes** ἢ σπείρας (3), ἑκάστη δὲ σπεῖρα εἰς ἓξ **centurias** ἢ τάγματα (4) ἐξ ἑκατὸν ἢ ἑξήκοντα στρατιωτῶν. Αἱ λεγεῶνες ἅμα τῇ ἀρχικῇ αὐτῶν συστάσει ἐλάμβανον ἀριθμὸν τάξεως ἑπόμενον ταῖς πρότερον συστηθείσαις καὶ διακρίνοντα αὐτὰς πρὸς ἀλλήλας· οὕτως ἡ Α'. λεγεὼν ἐστιν ἡ ἀρχαιοτέρα. Προϊόντος ὅμως τοῦ χρόνου ἐγένοντο τέσσαρες λεγεῶνες πρῶται, ἡ **Italica** (1), λαβοῦσα τὸ ὄνομα ἐκ τῆς χώρας ἐν ᾗ ἔσχε τὴν ἀρχήν, ἡ **Minervia** (2), ἐκ τῆς θεότητος ἣν ἐπεκαλεῖτο, ἡ **Parthica** (3), ἐκ τῶν βαρβάρων οὓς κατετρόπωσε καὶ ἡ ἡμετέρα **Legio Prima Adjutrix**, ἥτις, συνταχθεῖσα ὑπὸ τοῦ Γάλβα(4), πρώτην συνῆψε μάχην (5) ὑπὲρ τοῦ Ὄθωνος κατὰ τοῦ Βιτελλίου. Μέχρι τοῦδε γνωρίζομεν μετὰ θετικότητος τὰ ὀνόματα τριάκοντα λεγεώνων (6).

—

(1) Caesaris. De bello Gallico Α'. 43.
(2) Πολυβίου. Ἱστοριῶν. Α'. 13. — Δίωνος Κασσίου. ΝΕ'. 23, 24.
(3) Στράβωνος. ΙΖ'. 817. — Bŏcking. Notit. Or. σ. 323.
(4) Ciceronis in Aulu Gellii Noctium Atticarum Ις'. ὅ'. 6.

(1) Orelli. 264.
(2) Αὐτ. 505.
(3) Αὐτ. 3368.
(4) Δίωνος Κασσίου. ΝΕ'. 24. — Bŏcking Notit. Or. σ. 220.
(5) Taciti. Hist. Β'. 43, 47.
(6) Orelli 3371, 3373, 3374. — Smith. Dict. of Greek and Roman Antiquities. λ. Legio.

Ἐπιγραφὴ ΙΘ'.

Ἐπὶ μαρμαρίνης πλακὸς σωζομένης ἐν Ὁμουρτζᾷ, χωρίῳ μεταξὺ Ἡρακλείας καὶ Τυρολόης (Τσορλοῦ) κειμένῳ, ἔνθα πολλαὶ ἑλληνικαὶ, λατινικαὶ καὶ βυζαντιναὶ ἐπιγραφαὶ καὶ λείψανα ἀρχαίων μνημείων κατὰ καιροὺς ἀνακαλύπτονται, ὁπόθεν εἰκάζεται, ὅτι ἦτο ποτὲ αὐτόθι πόλις, ἣν ὁ πανδαμάτωρ χρόνος καὶ αἱ πολυάριθμοι ἐπιδρομαὶ ἐξηφάνισαν ἄρδην, ὥστε νῦν οὐδὲ κἂν τὸ ἀρχαῖον αὐτῆς ὄνομα ὑπελείφθη.

(Ὅρα Πίν. ἀρ. 11.)

Licinius Valens dec(urio.
Aemilius Optatus dec(urio.
Annaeus Dexter [decurio.
Flavius Iustus dec(urio.
Ulpius Candidus dec(urio.
Aelius Berenician[us] de[curio.
